eul_wid: cbm-bb

*Εὐριπίδης* · Euripides

# Helena

*Ἑλένη*

**Period:** *Κλασική* Classical
**Dialect:** *Δράμα Ἀττικόν* Attic Drama
**Domain:** *Δρᾶμα* Drama
**Format:** *Ἔμμετρος* Verse

ΕΛΕΝΗ
Νείλου μὲν αἵδε καλλιπάρθενοι ῥοαί,
ὃς ἀντὶ δίας ψακάδος Αἰγύπτου πέδον
λευκῆς τακείσης χιόνος ὑγραίνει γύας.
Πρωτεὺς δ’ ὅτ’ ἔζη τῆσδε γῆς τύραννος ἦν,
[Φάρον μὲν οἰκῶν νῆσον, Αἰγύπτου δ’ ἄναξ,]
ὃς τῶν κατ’ οἶδμα παρθένων μίαν γαμεῖ,
Ψαμάθην, ἐπειδὴ λέκτρ’ ἀφῆκεν Αἰακοῦ.
τίκτει δὲ τέκνα δισσὰ τοῖσδ’ ἐν δώμασιν,
Θεοκλύμενον ἄρσεν’ [ὅτι δὴ θεοὺς σέβων
βίον διήνεγκ’] εὐγενῆ τε παρθένον
Εἰδώ, τὸ μητρὸς ἀγλάισμ’, ὅτ’ ἦν βρέφος·
ἐπεὶ δ’ ἐς ἥβην ἦλθεν ὡραίαν γάμων,
καλοῦσιν αὐτὴν Θεονόην· τὰ θεῖα γὰρ
τά τ’ ὄντα καὶ μέλλοντα πάντ’ ἠπίστατο,
προγόνου λαβοῦσα Νηρέως τιμὰς πάρα.
ἡμῖν δὲ γῆ μὲν πατρὶς οὐκ ἀνώνυμος
Σπάρτη, πατὴρ δὲ Τυνδάρεως· ἔστιν δὲ δὴ
λόγος τις ὡς Ζεὺς μητέρ’ ἔπτατ’ εἰς ἐμὴν
Λήδαν κύκνου μορφώματ’ ὄρνιθος λαβών,
ὃς δόλιον εὐνὴν ἐξέπραξ’ ὑπ’ αἰετοῦ δίωγμα φεύγων, εἰ σαφὴς οὗτος λόγος·
Ἑλένη δ’ ἐκλήθην. ἃ δὲ πεπόνθαμεν κακὰ
λέγοιμ’ ἄν. ἦλθον τρεῖς θεαὶ κάλλους πέρι
Ἰδαῖον ἐς κευθμῶν’ Ἀλέξανδρον πάρα,
Ἥρα Κύπρις τε διογενής τε παρθένος,

μορφῆς θέλουσαι διαπεράνασθαι κρίσιν.
τοὐμὸν δὲ κάλλος, εἰ καλὸν τὸ δυστυχές,
Κύπρις προτείνασ’ ὡς Ἀλέξανδρος γαμεῖ,
νικᾶι. λιπὼν δὲ βούσταθμ’ Ἰδαῖος Πάρις
Σπάρτην ἀφίκεθ’ ὡς ἐμὸν σχήσων λέχος.
Ἥρα δὲ μεμφθεῖσ’ οὕνεκ’ οὐ νικᾶι θεὰς
ἐξηνέμωσε τἄμ’ Ἀλεξάνδρωι λέχη,
δίδωσι δ’ οὐκ ἔμ’ ἀλλ’ ὁμοιώσασ’ ἐμοὶ
εἴδωλον ἔμπνουν οὐρανοῦ ξυνθεῖσ’ ἄπο
Πριάμου τυράννου παιδί· καὶ δοκεῖ μ’ ἔχειν,
κενὴν δόκησιν, οὐκ ἔχων. τὰ δ’ αὖ Διὸς
βουλεύματ’ ἄλλα τοῖσδε συμβαίνει κακοῖς·
πόλεμον γὰρ εἰσήνεγκεν Ἑλλήνων χθονὶ
καὶ Φρυξὶ δυστήνοισιν, ὡς ὄχλου βροτῶν
πλήθους τε κουφίσειε μητέρα χθόνα
γνωτόν τε θείη τὸν κράτιστον Ἑλλάδος.
Φρυγῶν δ’ ἐς ἀλκὴν προυτέθην ἐγὼ μὲν οὔ,
τὸ δ’ ὄνομα τοὐμόν, ἆθλον Ἕλλησιν δορός.
λαβὼν δέ μ’ Ἑρμῆς ἐν πτυχαῖσιν αἰθέρος
νεφέληι καλύψας—οὐ γὰρ ἠμέλησέ μου
Ζεύς—τόνδ’ ἐς οἶκον Πρωτέως ἱδρύσατο,
πάντων προκρίνας σωφρονέστατον βροτῶν,
ἀκέραιον ὡς σώσαιμι Μενέλεωι λέχος.
κἀγὼ μὲν ἐνθάδ’ εἴμ’, ὁ δ’ ἄθλιος πόσις στράτευμ’ ἀθροίσας τὰς ἐμὰς ἀναρπαγὰς
θηρᾶι πορευθεὶς Ἰλίου πυργώματα.
ψυχαὶ δὲ πολλαὶ δι’ ἔμ’ ἐπὶ Σκαμανδρίοις ῥοαῖσιν ἔθανον· ἡ δὲ πάντα τλᾶσ’ ἐγὼ
κατάρατός εἰμι καὶ δοκῶ προδοῦσ’ ἐμὸν
πόσιν συνάψαι πόλεμον Ἕλλησιν μέγαν.
τί οὖν ἔτι ζῶ; θεοῦ τόδ’ εἰσήκουσ’ ἔπος
Ἑρμοῦ, τὸ κλεινὸν ἔτι κατοικήσειν πέδον
Σπάρτης σὺν ἀνδρί, γνόντος ὡς ἐς Ἴλιον
οὐκ ἦλθον, ἣν μὴ λέκτρ’ ὑποστρώσω τινί.
ἕως μὲν οὖν φῶς ἡλίου τόδ’ ἔβλεπεν
Πρωτεύς, ἄσυλος ἦ γάμων· ἐπεὶ δὲ γῆς
σκότωι κέκρυπται, παῖς ὁ τοῦ τεθνηκότος
θηρᾶι γαμεῖν με. τὸν πάλαι δ’ ἐγὼ πόσιν
τιμῶσα Πρωτέως μνῆμα προσπίτνω τόδε
ἱκέτις, ἵν’ ἀνδρὶ τἀμὰ διασώσηι λέχη,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὡς, εἰ καθ’ Ἑλλάδ’ ὄνομα δυσκλεὲς φέρω,
μή μοι τὸ σῶμά γ’ ἐνθάδ’ αἰσχύνην ὄφληι.
ΤΕΥΚΡΟΣ
τίς τῶνδ’ ἐρυμνῶν δωμάτων ἔχει κράτος;
Πλούτωι γὰρ οἶκος ἄξιος προσεικάσαι
βασίλειά τ’ ἀμφιβλήματ’ εὔθριγκοί θ’ ἕδραι.
ἔα·
ὦ θεοί, τίν’ εἶδον ὄψιν; ἐχθίστης ὁρῶ
γυναικὸς εἰκὼ φόνιον, ἥ μ’ ἀπώλεσεν
πάντας τ’ Ἀχαιούς. θεοί ς’, ὅσον μίμημ’ ἔχεις
Ἑλένης, ἀποπτύσειαν. εἰ δὲ μὴ ’ν ξένηι
γαίαι πόδ’ εἶχον, τῶιδ’ ἂν εὐστόχωι πτερῶι
ἀπόλαυσιν εἰκοῦς ἔθανες ἂν Διὸς κόρης. Ελ. τί δ’, ὦ ταλαίπωρ’, ὅστις εἶ μ’ ἀπεστράφης
καὶ ταῖς ἐκείνης συμφοραῖς ἐμὲ στυγεῖς;
Τε. ἥμαρτον· ὀργῆι δ’ εἶξα μᾶλλον ἤ μ’ ἐχρῆν·
μισεῖ γὰρ Ἑλλὰς πᾶσα τὴν Διὸς κόρην.
σύγγνωθι δ’ ἡμῖν τοῖς λελεγμένοις, γύναι.
Ελ. τίς δ’ εἶ; πόθεν γῆς τῆσδ’ ἐπεστράφης πέδον;
Τε. εἷς τῶν Ἀχαιῶν, ὦ γύναι, τῶν ἀθλίων ...
Ελ. οὔ τἄρα ς’ Ἑλένην εἰ στυγεῖς θαυμαστέον.
[ἀτὰρ τίς εἶ πόθεν; τίνος ἐξαυδᾶν σε χρή;
Τε. ὄνομα μὲν ἡμῖν Τεῦκρος, ὁ δὲ φύσας πατὴρ
Τελαμών, Σαλαμὶς δὲ πατρὶς ἡ θρέψασά με.
Ελ. τί δῆτα Νείλου τούσδ’ ἐπιστρέφηι γύας;]
Τε. φυγὰς πατρώιας ἐξελήλαμαι χθονός.
Ελ. τλήμων ἂν εἴης· τίς δέ ς’ ἐκβάλλει πάτρας;
Τε. Τελαμὼν ὁ φύσας· τίν’ ἂν ἔχοις μᾶλλον φίλον;
Ελ. ἐκ τοῦ; τὸ γάρ τοι πρᾶγμα συμφορὰν ἔχει.
Τε. Αἴας μ’ ἀδελφὸς ὤλες’ ἐν Τροίαι θανών.
Ελ. πῶς; οὔ τί που σῶι φασγάνωι βίου στερείς;
Τε. οἰκεῖον αὐτὸν ὤλες’ ἅλμ’ ἐπὶ ξίφος.
Ελ. μανέντ’; ἐπεὶ τίς σωφρονῶν τλαίη τάδ’ ἄν;
Τε. τὸν Πηλέως τιν’ οἶσθ’ Ἀχιλλέα γόνον;
Ελ. ναί·
μνηστήρ ποθ’ Ἑλένης ἦλθεν, ὡς ἀκούομεν. Τε. θανὼν ὅδ’ ὅπλων ἔριν ἔθηκε συμμάχοις.
Ελ. καὶ δὴ τί τοῦτ’ Αἴαντι γίγνεται κακόν;
Τε. ἄλλου λαβόντος ὅπλ’ ἀπηλλάχθη βίου.
Ελ. σὺ τοῖς ἐκείνου δῆτα πήμασιν νοσεῖς;

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Τε. ὁθούνεκ’ αὐτῶι 〈γ’〉 οὐ ξυνωλόμην ὁμοῦ.
Ελ. ἦλθες γάρ, ὦ ξέν’, Ἰλίου κλεινὴν πόλιν; Τε. καὶ ξύν γε πέρσας αὐτὸς ἀνταπωλόμην.
Ελ. ἤδη γὰρ ἧπται καὶ κατείργασται πυρί;
Τε. ὥστ’ οὐδ’ ἴχνος γε τειχέων εἶναι σαφές.
Ελ. ὦ τλῆμον Ἑλένη, διὰ ϛ’ ἀπόλλυνται Φρύγες.
Τε. καὶ πρός γ’ Ἀχαιοί· μεγάλα δ’ εἴργασται κακά.
Ελ. πόσον χρόνον γὰρ διαπεπόρθηται πόλις;
Τε. ἑπτὰ σχεδόν τι καμπίμους ἐτῶν κύκλους.
Ελ. χρόνον δ’ ἐμείνατ’ ἄλλον ἐν Τροίαι πόσον;
Τε. πολλὰς σελήνας, δέκα διελθούσας ἔτη.
Ελ. ἦ καὶ γυναῖκα Σπαρτιᾶτιν εἵλετε;
Τε. Μενέλαος αὐτὴν ἦγ’ ἐπισπάσας κόμης.
Ελ. εἶδες σὺ τὴν δύστηνον, ἢ κλυὼν λέγεις;
Τε. ὥσπερ σέ γ’, οὐδὲν ἧσσον, ὀφθαλμοῖς ὁρῶ.
Ελ. σκόπει δὲ μὴ δόκησιν εἴχετ’ ἐκ θεῶν.
Τε. ἄλλου λόγου μέμνησο, μὴ κείνης ἔτι.
[Ελ. οὕτω δοκεῖτε τὴν δόκησιν ἀσφαλῆ;
Τε. αὐτὸς γὰρ ὄσσοις εἰδόμην, καὶ νοῦς ὁρᾶι.]
Ελ. ἤδη δ’ ἐν οἴκοις σὺν δάμαρτι Μενέλεως;
Τε. οὔκουν ἐν Ἄργει 〈γ’〉 οὐδ’ ἐπ’ Εὐρώτα ῥοαῖς.
Ελ. αἰαῖ· κακὸν τόδ’ εἶπας οἷς κακὸν λέγεις.
Τε. ὡς κεῖνος ἀφανὴς σὺν δάμαρτι κλῄζεται.
Ελ. οὐ πᾶσι πορθμὸς αὐτὸς Ἀργείοισιν ἦν;
Τε. ἦν, ἀλλὰ χειμὼν ἄλλος’ ἄλλον ὥρισεν.
Ελ. ποίοισιν ἐν νώτοισι ποντίας ἁλός;
Τε. μέσον περῶσι πέλαγος Αἰγαίου πόρου.
Ελ. κἀκ τοῦδε Μενέλεων οὔτις οἶδ’ ἀφιγμένον;
Τε. οὐδείς· θανὼν δὲ κλῄζεται καθ’ Ἑλλάδα.
Ελ. ἀπωλόμεσθα· Θεστιὰς δ’ ἔστιν κόρη; Τε. Λήδαν ἔλεξας; οἴχεται θανοῦσα δή.
Ελ. οὔ πού νιν Ἑλένης αἰσχρὸν ὤλεσεν κλέος;
Τε. φασίν, βρόχωι γ’ ἅψασαν εὐγενῆ δέρην.
Ελ. οἱ Τυνδάρειοι δ’ εἰσὶν ἢ οὐκ εἰσὶν κόροι;
Τε. τεθνᾶσι κοὐ τεθνᾶσι· δύο δ’ ἐστὸν λόγω.
Ελ. πότερος ὁ κρείσσων; ὦ τάλαιν’ ἐγὼ κακῶν.
Τε. ἄστροις σφ’ ὁμοιωθέντε φάς’ εἶναι θεώ.
Ελ. καλῶς ἔλεξας τοῦτο· θάτερον δὲ τί;
Τε. σφαγαῖς ἀδελφῆς οὕνεκ’ ἐκπνεῦσαι βίον.
ἅλις δὲ μύθων· οὐ διπλᾶ χρῄζω στένειν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὧν δ’ οὕνεκ’ ἦλθον τούσδε βασιλείους δόμους,
τὴν θεσπιωιδὸν Θεονόην χρῄζων ἰδεῖν,
σὺ προξένησον, ὡς τύχω μαντευμάτων
ὅπηι νεὼς στείλαιμ’ ἂν οὔριον πτερὸν
ἐς γῆν ἐναλίαν Κύπρον, οὗ μ’ ἐθέσπισεν
οἰκεῖν Ἀπόλλων, ὄνομα νησιωτικὸν Σαλαμῖνα θέμενον τῆς ἐκεῖ χάριν πάτρας.
Ελ. πλοῦς, ὦ ξέν’, αὐτὸς σημανεῖ· σὺ δ’ ἐκλιπὼν
γῆν τήνδε φεῦγε, πρίν σε παῖδα Πρωτέως
ἰδεῖν, ὃς ἄρχει τῆσδε γῆς· ἄπεστι δὲ
κυσὶν πεποιθὼς ἐν φοναῖς θηροκτόνοις·
κτείνει γὰρ Ἕλλην’ ὅντιν’ ἂν λάβηι ξένον.
ὅτου δ’ ἕκατι μήτε σὺ ζήτει μαθεῖν
ἐγώ τε σιγῶ· τί γὰρ ἂν ὠφελοῖμί σε;
Τε. καλῶς ἔλεξας, ὦ γύναι· θεοὶ δέ σοι
ἐσθλῶν ἀμοιβὰς ἀντιδωρησαίατο.
Ἑλένηι δ’ ὅμοιον σῶμ’ ἔχους’ οὐ τὰς φρένας
ἔχεις ὁμοίας ἀλλὰ διαφόρους πολύ.
κακῶς ὄλοιτο μηδ’ ἐπ’ Εὐρώτα ῥοὰς ἔλθοι· σὺ δ’ εἴης εὐτυχὴς ἀεί, γύναι.
Ελ. ὦ μεγάλων ἀχέων καταβαλλομένα μέγαν οἶκτον
ποῖον ἁμιλλαθῶ γόον ἢ τίνα μοῦσαν ἐπέλθω
δάκρυσιν ἢ θρήνοις ἢ πένθεσιν; αἰαῖ.
πτεροφόροι νεάνιδες,
παρθένοι Χθονὸς κόραι,
Σειρῆνες, εἴθ’ ἐμοῖς
γόοις μόλοιτ’ ἔχουσαι Λίβυν
λωτὸν ἢ σύριγγας ἢ
φόρμιγγας αἰλίνοις κακοῖς
τοῖς ἐμοῖσι σύνοχα δάκρυα,
πάθεσι πάθεα, μέλεσι μέλεα,
μουσεῖα θρηνήμα-
σι ξυνωιδά, πέμψαιτε
Φερσέφασσα φονία χάριτας
ἵν’ ἐπὶ δάκρυσι παρ’ ἐμέθεν ὑπὸ
μέλαθρα νύχια παιᾶνα
νέκυσιν ὀλομένοις λάβηι.
ΧΟΡΟΣ
κυανοειδὲς ἀμφ’ ὕδωρ
ἔτυχον ἕλικά τ’ ἀνὰ χλόαν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

φοίνικας ἁλίωι
182a πέπλους χρυσέαισιν αὐγαῖς
182b θάλπουσ’
183.1 ἀμφὶ δόνακος ἔρνεσιν·
183.2 ἔνθεν οἰκτρὸν ὅμαδον ἔκλυον,
185.1 ἄλυρον ἔλεγον, ὅτι ποτ’ ἔλακεν
185.2 〈 ‒‒〉 αἰάγμα-
187a σι στένουσα νύμφα τις
187b οἷα Ναῒς ὄρεσι φυγάδα
188.1 γάμων ἱεῖσα γοερόν, ὑπὸ δὲ
188.2 πέτρινα γύαλα κλαγγαῖσι
190 Πανὸς ἀναβοᾶι γάμους.
191-192 Ελ. ὦ θήραμα βαρβάρου πλάτας,
193.1 Ἑλλανίδες κόραι,
193.2 ναύτας Ἀχαιῶν τις
195.1 ἔμολεν ἔμολε δάκρυα δάκρυσί μοι φέρων·
195.2 Ἰλίου κατασκαφαὶ
195.3 πυρὶ μέλουσι δαΐωι
195.4 δι’ ἐμὲ τὰν πολυκτόνον,
195.5 δι’ ἐμὸν ὄνομα πολύπονον, Λήδα δ’ ἐν ἀγχόναις
195.6 θάνατον ἔλαβεν αἰσχύ-
195.7 νας ἐμᾶς ὑπ’ ἀλγέων,
195.8 ὁ δ’ ἐμὸς ἐν ἁλὶ πολυπλανὴς
195.9 πόσις ὀλόμενος οἴχεται,
205.1 Κάστορός τε συγγόνου τε
205.2 διδυμογενὲς ἄγαλμα πατρίδος
205.3 ἀφανὲς ἀφανὲς ἱππόκροτα λέ-
205.4 λοιπε δάπεδα γυμνάσιά τε
205.5 δονακόεντος Εὐρώ-
210.1 τα, νεανιᾶν πόνον.
210.2 Χο. αἰαῖ δαίμονος πολυστόνου
210.3 μοίρας τε σᾶς, γύναι.
210.4 αἰὼν δυσαίων τις
210.5 ἔλαχεν ἔλαχεν, ὅτε ς’ ἐτέκετο ματρόθεν
215.1 χιονόχρωι κύκνου πτερῶι
215.2 Ζεὺς πρέπων δι’ αἰθέρος.
215.3 τί γὰρ ἄπεστί σοι κακῶν;
215.4 τί δ’ ἀνὰ βίοτον οὐκ ἔτλας;
215.5

Eulogikon public reading copy · View original HTML at eulogikon.org

μάτηρ μὲν οἴχεται,
δίδυμά τε Διὸς οὐκ εὐ-
δαιμονεῖ τέκεα φίλα,
χθόνα δὲ πάτριον οὐχ ὁρᾶις,
διὰ δὲ πόλιας ἔρχεται
βάξις ἅ σε βαρβάροισι,
πότνια, παραδίδωσι λέχεσιν,
ὁ δὲ σὸς ἐν ἁλὶ κύμασί τε λέ-
λοιπε βίοτον, οὐδέ ποτ’ ἔτι
πάτρια μέλαθρα καὶ τὰν
Χαλκίοικον ὀλβιεῖ.
Ελ. φεῦ φεῦ, τίς ἢ Φρυγῶν
ἢ τίς Ἑλλανίας ἀπὸ χθονὸς
ἔτεμε τὰν δακρυόεσσαν
Ἰλίωι πεύκαν;
ἔνθεν ὀλόμενον σκάφος
συναρμόσας ὁ Πριαμίδας
ἔπλευσε βαρβάρωι πλάται
τὰν ἐμὰν ἐφ’ ἑστίαν
[ἐπὶ τὸ δυστυχέστατον
κάλλος ὡς ἕλοι γάμων ἐμῶν]
ἅ τε δόλιος ἁ πολυκτόνος Κύπρις
Δαναΐδαις ἄγουσα θάνατον [Πριαμίδαις]·
ὦ τάλαινα συμφορᾶς.
ἁ δὲ χρυσέοις θρόνοισι
Διὸς ὑπαγκάλισμα σεμνὸν
Ἥρα τὸν ὠκύπουν
ἔπεμψε Μαιάδος γόνον·
ὅς με χλοερὰ δρεπομέναν ἔσω πέπλων
ῥόδεα πέταλα Χαλκίοικον
ὡς Ἀθάναν μόλοιμ’
ἀναρπάσας δι’ αἰθέρος
τάνδε γαῖαν εἰς ἄνολβον
ἔριν ἔριν τάλαιναν ἔθετο
Πριαμίδαισιν Ἑλλάδος. τὸ δ’ ἐμὸν ὄνομα παρὰ Σιμουντίοις ῥοαῖσι
μαψίδιον ἔχει φάτιν.
Χο. ἔχεις μὲν ἀλγείν’, οἶδα· σύμφορον δέ τοι
ὡς ῥᾶιστα τἀναγκαῖα τοῦ βίου φέρειν.

Ελ. φίλαι γυναῖκες, τίνι πότμωι συνεζύγην;
ἆρ᾽ ἡ τεκοῦσά μ᾽ ἔτεκεν ἀνθρώποις τέρας;
[γυνὴ γὰρ οὔθ᾽ Ἑλληνὶς οὔτε βάρβαρος
τεῦχος νεοσσῶν λευκὸν ἐκλοχεύεται,
ἐν ὧι με Λήδαν φασὶν ἐκ Διὸς τεκεῖν.]
τέρας γὰρ ὁ βίος καὶ τὰ πράγματ᾽ ἐστί μου,
τὰ μὲν δι᾽ Ἥραν, τὰ δὲ τὸ κάλλος αἴτιον. εἴθ᾽ ἐξαλειφθεῖσ᾽ ὡς ἄγαλμ᾽ αὖθις πάλιν
αἴσχιον εἶδος ἔλαβον ἀντὶ τοῦ καλοῦ,
καὶ τὰς τύχας μὲν τὰς κακὰς ἃς νῦν ἔχω
Ἕλληνες ἐπελάθοντο, τὰς δὲ μὴ κακὰς
ἔσωιζον ὥσπερ τὰς κακὰς σώιζουσί μου.
ὅστις μὲν οὖν ἐς μίαν ἀποβλέπων τύχην
πρὸς θεῶν κακοῦται, βαρὺ μέν, οἰστέον δ᾽ ὅμως·
ἡμεῖς δὲ πολλαῖς συμφοραῖς ἐγκείμεθα.
πρῶτον μὲν οὐκ οὖσ᾽ ἄδικός εἰμι δυσκλεής·
καὶ τοῦτο μεῖζον τῆς ἀληθείας κακόν,
ὅστις τὰ μὴ προσόντα κέκτηται κακά.
ἔπειτα πατρίδος θεοί μ᾽ ἀφιδρύσαντο γῆς
ἐς βάρβαρ᾽ ἤθη, καὶ φίλων τητωμένη
δούλη καθέστηκ᾽ οὖσ᾽ ἐλευθέρων ἄπο·
τὰ βαρβάρων γὰρ δοῦλα πάντα πλὴν ἑνός.
ἄγκυρα δ᾽ ἥ μου τὰς τύχας ὤχει μόνη,
πόσιν ποθ᾽ ἥξειν καί μ᾽ ἀπαλλάξειν κακῶν,
ἐπεὶ τέθνηκεν οὗτος, οὐκέτ᾽ ἔστι δή.
μήτηρ δ᾽ ὄλωλε καὶ φονεὺς αὐτῆς ἐγώ,
ἀδίκως μέν, ἀλλὰ τἄδικον τοῦτ᾽ ἔστ᾽ ἐμόν.
ἣ δ᾽ ἀγλάισμα δωμάτων ἐμόν τ᾽ ἔφυ,
θυγάτηρ ἄνανδρος πολιὰ παρθενεύεται.
τὼ τοῦ Διὸς δὲ λεγομένω Διοσκόρω
οὐκ ἐστόν. ἀλλὰ πάντ᾽ ἔχουσα δυστυχῆ
τοῖς πράγμασιν τέθνηκα, τοῖς δ᾽ ἔργοισιν οὔ.
[τὸ δ᾽ ἔσχατον τοῦτ᾽, εἰ μόλοιμεν ἐς πάτραν,
κλήιθροις ἂν εἰργοίμεσθα, τὴν ὑπ᾽ Ἰλίωι
δοκοῦντες Ἑλένην Μενέλεώ μ᾽ ἐλθεῖν μέτα.
εἰ μὲν γὰρ ἔζη πόσις, ἀνεγνώσθημεν ἄν,
εἰς ξύμβολ᾽ ἐλθόντες ἃ φανερὰ μόνοις ἂν ἦν.
νῦν δ᾽ οὔτε τοῦτ᾽ ἔστ᾽ οὔτε μὴ σωθῆι ποτε.]
τί δῆτ᾽ ἔτι ζῶ; τίν᾽ ὑπολείπομαι τύχην;

Eulogikon public reading copy · View original HTML at eulogikon.org

γάμους ἑλομένη τῶν κακῶν ὑπαλλαγὰς
μετ’ ἀνδρὸς οἰκεῖν βαρβάρου, πρὸς πλουσίαν
τράπεζαν ἵζους’; ἀλλ’ ὅταν πόσις πικρὸς
ξυνῆι γυναικί, καὶ τὸ σῶμ’ ἐστὶν πικρόν.
[θανεῖν κράτιστον· πῶς θάνοιμ’ ἂν οὖν καλῶς;
ἀσχήμονες μὲν ἀγχόναι μετάρσιοι, κἀν τοῖσι δούλοις δυσπρεπὲς νομίζεται·
σφαγαὶ δ’ ἔχουσιν εὐγενές τι καὶ καλόν,
σμικρὸν δ’ ὁ καιρὸς ἄρτ’ ἀπαλλάξαι βίου.]
ἐς γὰρ τοσοῦτον ἤλθομεν βάθος κακῶν·
αἱ μὲν γὰρ ἄλλαι διὰ τὸ κάλλος εὐτυχεῖς
γυναῖκες, ἡμᾶς δ’ αὐτὸ τοῦτ’ ἀπώλεσεν.
Χο. Ἑλένη, τὸν ἐλθόνθ’, ὅστις ἐστὶν ὁ ξένος,
μὴ πάντ’ ἀληθῆ δοξάσηις εἰρηκέναι.
Ελ. καὶ μὴν σαφῶς γ’ ἔλεξ’ ὀλωλέναι πόσιν.
Χο. πόλλ’ ἂν λέγοιτο καὶ διὰ ψευδῶν σαφῆ.
Ελ. καὶ τἄμπαλίν γε τῶνδ’ ἀληθείας ἔπι.
Χο. ἐς ξυμφορὰν γὰρ ἀντὶ τἀγαθοῦ φέρηι.
Ελ. φόβος γὰρ ἐς τὸ δεῖμα περιβαλών μ’ ἄγει.
Χο. πῶς δ’ εὐμενείας τοισίδ’ ἐν δόμοις ἔχεις;
Ελ. πάντες φίλοι μοι πλὴν ὁ θηρεύων γάμους.
Χο. οἶσθ’ οὖν ὃ δρᾶσον· μνήματος λιποῦς’ ἕδραν ...
Ελ. ἐς ποῖον ἕρπεις μῦθον ἢ παραίνεσιν; Χο. ἐλθοῦς’ ἐς οἴκους, ἣ τὰ πάντ’ ἐπίσταται
τῆς ποντίας Νηρῆιδος ἐκγόνου κόρης
πυθοῦ πόσιν σὸν Θεονόης, εἴτ’ ἔστ’ ἔτι
εἴτ’ ἐκλέλοιπε φέγγος· ἐκμαθοῦσα δ’ εὖ
πρὸς τὰς τύχας τὸ χάρμα τοὺς γόους τ’ ἔχε.
πρὶν δ’ οὐδὲν ὀρθῶς εἰδέναι, τί σοι πλέον
λυπουμένηι γένοιτ’ ἄν; ἀλλ’ ἐμοὶ πιθοῦ.
[τάφον λιποῦσα τόνδε σύμμειξον κόρηι,
ὅθενπερ εἴσηι πάντα· τἀληθῆ φράσαι
ἔχους’ ἐν οἴκοις τοῖσδε, τί βλέπεις πρόσω;]
θέλω δὲ κἀγώ σοι συνεισελθεῖν δόμους
καὶ συμπυθέσθαι παρθένου θεσπίσματα·
γυναῖκα γὰρ δὴ συμπονεῖν γυναικὶ χρή.
Ελ. φίλαι, λόγους ἐδεξάμαν·
βᾶτε βᾶτε δ’ ἐς δόμους,
ἀγῶνας ἐντὸς οἴκων
ὡς πύθησθε τοὺς ἐμούς.

Χο. θέλουσαν οὔ με δὶς καλεῖς.
335.1 Ελ. ἰὼ μέλεος ἁμέρα.
335.2 τίν’ ἄρα τάλαινα τίνα λόγον
335.3 δακρυόεντ’ ἀκούσομαι;
335.4 Χο. μὴ πρόμαντις ἀλγέων
335.5 προλάμβαν’, ὦ φίλα, γόους.
340.1 Ελ. τί μοι πόσις μέλεος ἔτλα;
340.2 πότερα δέρκεται φάος τέ-
342-343 θριππά θ’ ἁλίου κέλευθά τ’ ἀστέρων
344 ἢ ’ν νέκυσι κατὰ χθονὸς
345.1 τὰν χρόνιον ἔχει τύχαν; Χο. ἐς τὸ φέρτερον τίθει
345.2 τὸ μέλλον ὅτι γενήσεται.
345.3 Ελ. σὲ γὰρ ἐκάλεσα, σὲ δὲ κατόμοσα
345.4 τὸν ὑδρόεντι δόνακι χλωρὸν Εὐρώταν, θανόντος
345.5 εἰ βάξις ἔτυμος ἀνδρὸς
345.6 ἅδε μοι τί τάδ’ ἀσύνετα,
353a φόνιον αἰώρημα
353b διὰ δέρας ὀρέξομαι,
354 ἢ ξιφοκτόνον διωγμὸν
355.1 αἱμορρύτου σφαγᾶς
355.2 αὐτοσίδαρον ἔσω πελάσω διὰ σαρκὸς ἅμιλλαν,
357a θῦμα τριζύγοις θεαῖσι
357b τῶι τε σήραγγας Ἴ-
358.1 δας ἐνίζοντι Πριαμί-
358.2 δαι ποτ’ ἀμφὶ βουστάθμους.
360.1 Χο. ἄλλος’ ἀποτροπὰ κακῶν
360.2 γένοιτο, τὸ δὲ σὸν εὐτυχές.
360.3 Ελ. ἰὼ τάλαινα Τροία,
360.4 δι’ ἔργ’ ἄνεργ’ ὄλλυσαι μέλεά τ’ ἔτλας.
360.5 τὰ δ’ ἐμὰ δῶρα Κύπριδος ἔτεκε
365.1 πολὺ μὲν αἷμα, πολὺ δὲ δάκρυον
365.2 ἄχεά τ’ ἄχεσι δάκρυα δάκρυσιν ἔλαβε πάθεα,
365.3 ματέρες τε παῖδας ὄλεσαν, ἀπὸ δὲ παρθένοι κόμας ἔ-
369a θεντο σύγγονοι νεκρῶν Σκαμάνδριον
369b ἀμφὶ Φρύγιον οἶδμα.
370.1 βοὰν βοὰν δ’ Ἑλλὰς 〈αἶ’〉
370.2 ἐκελάδησεν ἀνοτότυξεν,
370.3 ἐπὶ δὲ κρατὶ χέρας ἔθηκεν,
370.4

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὄνυχι δ’ ἁπαλόχροα γένυν
ἔδευσεν φοινίαισι πλαγαῖς.
ὦ μάκαρ Ἀρκαδίαι ποτὲ παρθένε
Καλλιστοῖ, Διὸς ἃ λεχέων ἀπέ-
βας τετραβάμοσι γυίοις,
ὡς πολὺ κηρὸς ἐμᾶς ἔλαχες πλέον,
ἁ μορφᾶι θηρῶν λαχνογυίων
ὄμματι λάβρωι σχῆμα λεαίνης
ἐξαλλάξας’ ἄχθεα λύπας·
ἄν τέ ποτ’ Ἄρτεμις ἐξεχορεύσατο
χρυσοκέρατ’ ἔλαφον Μέροπος Τιτανίδα κούραν
καλλοσύνας ἕνεκεν· τὸ δ’ ἐμὸν δέμας
ὤλεσεν ὤλεσε πέργαμα Δαρδανίας
ὀλομένους τ’ Ἀχαιούς.
ΜΕΝΕΛΑΟΣ
ὦ τὰς τεθρίππους Οἰνομάωι Πῖσαν κάτα
Πέλοψ ἁμίλλας ἐξαμιλληθείς ποτε,
εἴθ’ ὤφελες τόθ’ [ἡνίκ’ ἔρανον εἰς θεοὺς
πεισθεὶς ἐποίεις] ἐν θεοῖς λιπεῖν βίον,
πρὶν τὸν ἐμὸν Ἀτρέα πατέρα γεννῆσαί ποτε,
ὃς ἐξέφυσεν Ἀερόπης λέκτρων ἄπο
Ἀγαμέμνον’ ἐμέ τε Μενέλεων, κλεινὸν ζυγόν.
πλεῖστον γὰρ οἶμαι—καὶ τόδ’ οὐ κόμπωι λέγω—
στράτευμα κώπηι διορίσαι Τροίαν ἔπι,
τύραννος οὐδὲ πρὸς βίαν στρατηλατῶν,
ἑκοῦσι δ’ ἄρξας Ἑλλάδος νεανίαις.
καὶ τοὺς μὲν οὐκέτ’ ὄντας ἀριθμῆσαι πάρα,
τοὺς δ’ ἐκ θαλάσσης ἀσμένους πεφευγότας,
νεκρῶν φέροντας ὀνόματ’ εἰς οἴκους πάλιν. ἐγὼ δ’ ἐπ’ οἶδμα πόντιον γλαυκῆς ἁλὸς
τλήμων ἀλῶμαι χρόνον ὅσονπερ Ἰλίου
πύργους ἔπερσα, κἀς πάτραν χρῄζων μολεῖν
οὐκ ἀξιοῦμαι τοῦδε πρὸς θεῶν τυχεῖν.
Λιβύης δ’ ἐρήμους ἀξένους τ’ ἐπιδρομὰς
πέπλευκα πάσας· χὤταν ἐγγὺς ὦ πάτρας,
πάλιν μ’ ἀπωθεῖ πνεῦμα κοὔποτ’ οὔριον
ἐσῆλθε λαῖφος ὥστε μ’ ἐς πάτραν μολεῖν.
καὶ νῦν τάλας ναυαγὸς ἀπολέσας φίλους
ἐξέπεσον ἐς γῆν τήνδε· ναῦς δὲ πρὸς πέτραις

πολλοὺς ἀριθμοὺς ἄγνυται ναυαγίων.
τρόπις δ’ ἐλείφθη ποικίλων ἁρμοσμάτων,
ἐφ’ ἧς ἐσώθην μόλις ἀνελπίστωι τύχηι
Ἑλένη τε, Τροίας ἣν ἀποσπάσας ἔχω.
ὄνομα δὲ χώρας ἥτις ἥδε καὶ λεὼ
οὐκ οἶδ’· ὄχλον γὰρ ἐσπεσεῖν ἠισχυνόμην,
[ὥσθ’ ἱστορῆσαι τὰς ἐμὰς δυσχλαινίας]
κρύπτων ὑπ’ αἰδοῦς τὰς τύχας. ὅταν δ’ ἀνὴρ πράξηι κακῶς ὑψηλός, εἰς ἀηθίαν
πίπτει κακίω τοῦ πάλαι δυσδαίμονος.
χρεία δὲ τείρει μ’· οὔτε γὰρ σῖτος πάρα
οὔτ’ ἀμφὶ χρῶτ’ ἐσθῆτες· αὐτὰ δ’ εἰκάσαι
πάρεστι ναὸς ἐκβόλοις ἁμπίσχομαι.
πέπλους δὲ τοὺς πρὶν λαμπρά τ’ ἀμφιβλήματα
χλιδάς τε πόντος ἥρπας’· ἐν δ’ ἄντρου μυχοῖς
κρύψας γυναῖκα τὴν κακῶν πάντων ἐμοὶ
ἄρξασαν ἥκω, τούς γε περιλελειμμένους
φίλων φυλάσσειν τἄμ’ ἀναγκάσας λέχη.
μόνος δὲ νοστῶ, τοῖς ἐκεῖ ζητῶν φίλοις
τὰ πρόσφορ’ ἤν πως ἐξερευνήσας λάβω.
ἰδὼν δὲ δῶμα περιφερὲς θριγκοῖς τόδε
πύλας τε σεμνὰς ἀνδρὸς ὀλβίου τινὸς
προσῆλθον· ἐλπὶς δ’ ἔκ γε πλουσίων δόμων
λαβεῖν τι ναύταις· ἐκ δὲ μὴ ’χόντων βίον
οὐδ’ εἰ θέλοιεν ὠφελεῖν ἔχοιμεν ἄν.
ὠή· τίς ἂν πυλωρὸς ἐκ δόμων μόλοι,
ὅστις διαγγείλειε τἄμ’ ἔσω κακά;
ΓΡΑΥΣ
τίς πρὸς πύλαισιν; οὐκ ἀπαλλάξηι δόμων
καὶ μὴ πρὸς αὐλείοισιν ἑστηκὼς πύλαις
ὄχλον παρέξεις δεσπόταις; ἢ κατθανῆι
Ἕλλην πεφυκώς, οἷσιν οὐκ ἐπιστροφαί.
Με. ὦ γραῖα, ταῦτα ταῦτ’ ἔπη καλῶς λέγεις
ἔξεστι, πείσομαι γάρ· ἀλλ’ ἄνες χόλου.
Γρ. ἄπελθ’· ἐμοὶ γὰρ τοῦτο πρόσκειται, ξένε,
μηδένα πελάζειν τοισίδ’ Ἑλλήνων δόμοις.
Με. ἆ, μὴ πρόσειε χεῖρα μηδ’ ὤθει βίαι.
Γρ. πείθηι γὰρ οὐδὲν ὧν λέγω, σὺ δ’ αἴτιος.
Με. ἄγγειλον εἴσω δεσπόταισι τοῖσι σοῖς ...

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Γρ. πικρῶς ἂν οἶμαί γ’ ἀγγελεῖν τοὺς σοὺς λόγους.
Με. ναυαγὸς ἥκω ξένος, ἀσύλητον γένος. Γρ. οἶκον πρὸς ἄλλον νύν τιν’ ἀντὶ τοῦδ’ ἴθι.
Με. οὔκ, ἀλλ’ ἔσω πάρειμι· καὶ σύ μοι πιθοῦ.
Γρ. ὀχληρὸς ἴσθ’ ὤν· καὶ τάχ’ ὠσθήσηι βίαι.
Με. αἰαῖ· τὰ κλεινὰ ποῦ ’στί μοι στρατεύματα;
Γρ. οὐκοῦν ἐκεῖ που σεμνὸς ἦσθ’, οὐκ ἐνθάδε.
Με. ὦ δαῖμον, ὡς ἀνάξι’ ἠτιμώμεθα.
Γρ. τί βλέφαρα τέγγεις δάκρυσι; πρὸς τίν’ οἰκτρὸς εἶ;
Με. πρὸς τὰς πάροιθε συμφορὰς εὐδαίμονας.
Γρ. οὔκουν ἀπελθὼν δάκρυα σοῖς δώσεις φίλοις;
Με. τίς δ’ ἥδε χώρα; τοῦ δὲ βασίλειοι δόμοι;
Γρ. Πρωτέως τάδ’ ἐστὶ δώματ’, Αἴγυπτος δὲ γῆ.
Με. Αἴγυπτος; ὢ δύστηνος, οἷ πέπλευκ’ ἄρα.
Γρ. τί δὴ τὸ Νείλου μεμπτόν ἐστί σοι γάνος;
Με. οὐ τοῦτ’ ἐμέμφθην· τὰς ἐμὰς στένω τύχας.
Γρ. πολλοὶ κακῶς πράσσουσιν, οὐ σὺ δὴ μόνος.
Με. ἔστ’ οὖν ἐν οἴκοις ὅντιν’ ὀνομάζεις ἄναξ;
Γρ. τόδ’ ἐστὶν αὐτοῦ μνῆμα, παῖς δ’ ἄρχει χθονός.
Με. ποῦ δῆτ’ ἂν εἴη; πότερον ἐκτὸς ἢ ’ν δόμοις;
Γρ. οὐκ ἔνδον· Ἕλλησιν δὲ πολεμιώτατος.
Με. τίν’ αἰτίαν σχὼν ἧς ἐπηυρόμην ἐγώ;
Γρ. Ἑλένη κατ’ οἴκους ἐστὶ τούσδ’ ἡ τοῦ Διός.
Με. πῶς φήις; τίν’ εἶπας μῦθον; αὖθίς μοι φράσον.
Γρ. ἡ Τυνδαρὶς παῖς, ἣ κατὰ Σπάρτην ποτ’ ἦν.
Με. πόθεν μολοῦσα; τίνα τὸ πρᾶγμ’ ἔχει λόγον;
Γρ. Λακεδαίμονος γῆς δεῦρο νοστήσας’ ἄπο.
Με. πότ’; οὔ τί που λελήισμεθ’ ἐξ ἄντρων λέχος;
Γρ. πρὶν τοὺς Ἀχαιούς, ὦ ξέν’, ἐς Τροίαν μολεῖν.
ἀλλ’ ἕρπ’ ἀπ’ οἴκων· ἔστι γάρ τις ἐν δόμοις
τύχη, τύραννος ἧι ταράσσεται δόμος.
καιρὸν γὰρ οὐδέν’ ἦλθες· ἢν δὲ δεσπότης
λάβηι σε, θάνατος ξένιά σοι γενήσεται.
εὔνους γάρ εἰμ’ Ἕλλησιν, οὐχ ὅσον πικροὺς
λόγους ἔδωκα δεσπότην φοβουμένη.
Με. τί φῶ; τί λέξω; συμφορὰς γὰρ ἀθλίας
ἐκ τῶν πάροιθε τὰς παρεστώσας κλύω,
εἰ τὴν μὲν αἱρεθεῖσαν ἐκ Τροίας ἄγων
ἥκω δάμαρτα καὶ κατ’ ἄντρα σώιζεται,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ὄνομα δὲ ταὐτὸν τῆς ἐμῆς ἔχουσά τις
485.4 δάμαρτος ἄλλη τοισίδ’ ἐνναίει δόμοις.
485.5 Διὸς δ’ ἔλεξε παῖδά νιν πεφυκέναι·
490.1 ἀλλ’ ἦ τις ἔστι Ζηνὸς ὄνομ’ ἔχων ἀνὴρ
490.2 Νείλου παρ’ ὄχθας; εἷς γὰρ ὅ γε κατ’ οὐρανόν.
490.3 Σπάρτη δὲ ποῦ γῆς ἐστι πλὴν ἵνα ῥοαὶ
490.4 τοῦ καλλιδόνακός εἰσιν Εὐρώτα μόνον;
490.5 διπλοῦν δὲ Τυνδάρειον ὄνομα κλῄζεται,
495.1 Λακεδαίμονος δὲ γαῖά τις ξυνώνυμος
495.2 Τροίας τ’; ἐγὼ μὲν οὐκ ἔχω τί χρὴ λέγειν.
495.3 πολλοὶ γάρ, ὡς εἴξασιν, ἐν πολλῆι χθονὶ
495.4 ὀνόματα ταὔτ’ ἔχουσι καὶ πόλις πόλει γυνὴ γυναικί τ’· οὐδὲν οὖν θαυμαστέον. οὐδ’ αὖ τὸ δεινὸν προσπόλου φευξούμεθα·
495.5 ἀνὴρ γὰρ οὐδεὶς ὧδε βάρβαρος φρένας
495.6 ὃς ὄνομ’ ἀκούσας τοὐμὸν οὐ δώσει βοράν.
495.7 [κλεινὸν τὸ Τροίας πῦρ ἐγώ θ’ ὃς ἧψά νιν,
495.8 Μενέλαος, οὐκ ἄγνωστος ἐν πάσηι χθονί.
505.1 δόμων ἄνακτα προσμενῶ· δισσὰς δέ μοι
505.2 ἔχει φυλάξεις· ἢν μὲν ὠμόφρων τις ἦι,
505.3 κρύψας ἐμαυτὸν εἶμι πρὸς ναυάγια·
505.4 ἢν δ’ ἐνδιδῶι τι μαλθακόν, τὰ πρόσφορα
505.5 τῆς νῦν παρούσης συμφορᾶς αἰτήσομαι.]
510.1 κακῶν τόδ’ ἡμῖν ἔσχατον τοῖς ἀθλίοις,
510.2 ἄλλους τυράννους αὐτὸν ὄντα βασιλέα
510.3 βίον προσαιτεῖν· ἀλλ’ ἀναγκαίως ἔχει.
510.4 λόγος γάρ ἐστιν οὐκ ἐμός, σοφῶν δέ του,
510.5 δεινῆς ἀνάγκης οὐδὲν ἰσχύειν πλέον.
515.1 Χο. ἤκουσα τᾶς θεσπιωιδοῦ κόρας
515.2 ἃ χρῄζους’ ἐπλάθην τυράννοις δόμοισιν,
515.3 ὡς Μενέλαος οὔ-
515.4 πω μελαμφαὲς οἴχεται
515.5 δι’ ἔρεβος χθονὶ κρυφθείς,
520.1 ἀλλ’ ἔτι κατ’ οἶδμ’ ἅλιον
520.2 τρυχόμενος οὔπω λιμένων
520.3 ψαύσειεν πατρίας γᾶς,
520.4 ἀλατείαι βιότου
520.5 ταλαίφρων, ἄφιλος φίλων,
525.1 παντοδαπᾶς ἐπὶ γᾶς πέδον
525.2 χριμπτόμενος εἰναλίωι

Eulogikon public reading copy · View original HTML at eulogikon.org

κώπαι Τρωιάδος ἐκ γᾶς.
Ελ. ἥδ’ αὖ τάφου τοῦδ’ εἰς ἕδρας ἐγὼ πάλιν
στείχω, μαθοῦσα Θεονόης φίλους λόγους.
[ἣ πάντ’ ἀληθῶς οἶδε· φησὶ δ’ ἐν φάει
πόσιν τὸν ἁμὸν ζῶντα φέγγος εἰσορᾶν,
πορθμοὺς δ’ ἀλᾶσθαι μυρίους πεπλωκότα
ἐκεῖσε κἀκεῖς’ οὐδ’ ἀγύμναστον πλάνοις,
ἥξειν 〈δ’〉 ὅταν δὴ πημάτων λάβηι τέλος.
ἓν δ’ οὐκ ἔλεξεν, εἰ μολὼν σωθήσεται.
ἐγὼ δ’ ἀπέστην τοῦτ’ ἐρωτῆσαι σαφῶς,
ἡσθεῖς’ ἐπεί νιν εἶπέ μοι σεσωμένον.
ἐγγὺς δέ νίν που τῆσδ’ ἔφασκ’ εἶναι χθονός,
ναυαγὸν ἐκπεσόντα σὺν παύροις φίλοις.
ὤμοι, πόθ’ ἥξεις; ὡς ποθεινὸς ἂν μόλοις.]
ἔα, τίς οὗτος; οὔ τί που κρυπτεύομαι
Πρωτέως ἀσέπτου παιδὸς ἐκ βουλευμάτων;
οὐχ ὡς δρομαία πῶλος ἢ βάκχη θεοῦ
τάφωι ξυνάψω κῶλον; ἄγριος δέ τις
μορφὴν ὅδ’ ἐστὶν ὅς με θηρᾶται λαβεῖν.
Με. σὲ τὴν ὄρεγμα δεινὸν ἡμιλλημένην
τύμβου ’πὶ κρηπῖδ’ ἐμπύρους τ’ ὀρθοστάτας,
μεῖνον· τί φεύγεις; ὡς δέμας δείξασα σὸν
ἔκπληξιν ἡμῖν ἀφασίαν τε προστίθης. Ελ. ἀδικούμεθ’, ὦ γυναῖκες· εἰργόμεσθα γὰρ
τάφου πρὸς ἀνδρὸς τοῦδε, καί μ’ ἑλὼν θέλει δοῦναι τυράννοις ὧν ἐφεύγομεν γάμους.
Με. οὐ κλῶπές ἐσμεν οὐδ’ ὑπηρέται κακῶν.
Ελ. καὶ μὴν στολήν γ’ ἄμορφον ἀμφὶ σῶμ’ ἔχεις.
Με. στῆσον, φόβον μεθεῖσα, λαιψηρὸν πόδα.
Ελ. ἵστημ’, ἐπεί γε τοῦδ’ ἐφάπτομαι τάφου.
Με. τίς εἶ; τίν’ ὄψιν σήν, γύναι, προσδέρκομαι;
Ελ. σὺ δ’ εἶ τίς; αὑτὸς γὰρ σὲ κἄμ’ ἔχει λόγος.
Με. οὐπώποτ’ εἶδον προσφερέστερον δέμας.
Ελ. ὦ θεοί· θεὸς γὰρ καὶ τὸ γιγνώσκειν φίλους.
〈Με. Ἑλληνὶς εἶ τις ἢ ’πιχωρία γυνή;〉
Ελ. Ἑλληνίς· ἀλλὰ καὶ τὸ σὸν θέλω μαθεῖν.
Με. Ἑλένηι ς’ ὁμοίαν δὴ μάλιστ’ εἶδον, γύναι.
Ελ. ἐγὼ δὲ Μενέλεωι γε ς’· οὐδ’ ἔχω τί φῶ.
Με. ἔγνως ἄρ’ ὀρθῶς ἄνδρα δυστυχέστατον.
Ελ. ὦ χρόνιος ἐλθὼν σῆς δάμαρτος ἐς χέρας.

Με. ποίας δάμαρτος; μὴ θίγῃς ἐμῶν πέπλων.
565.4 Ελ. ἥν σοι δίδωσι Τυνδάρεως, ἐμὸς πατήρ.
565.5 Με. ὦ φωσφόρ’ Ἑκάτη, πέμπε φάσματ’ εὐμενῆ.
570.1 Ελ. οὐ νυκτίφαντον πρόπολον Ἐνοδίας μ’ ὁρᾷς.
570.2 Με. οὐ μὴν γυναικῶν γ’ εἷς δυοῖν ἔφυν πόσις.
570.3 Ελ. ποίων δὲ λέκτρων δεσπότης ἄλλων ἔφυς;
570.4 Με. ἣν ἄντρα κεύθει κἀκ Φρυγῶν κομίζομαι.
570.5 Ελ. οὐκ ἔστιν ἄλλη σή τις ἀντ’ ἐμοῦ γυνή.
575.1 Με. οὔ που φρονῶ μὲν εὖ, τὸ δ’ ὄμμα μου νοσεῖ;
575.2 Ελ. οὐ γάρ με λεύσσων σὴν δάμαρθ’ ὁρᾶν δοκεῖς;
575.3 Με. τὸ σῶμ’ ὅμοιον, τὸ δὲ σαφές γ’ ἀποστατεῖ. Ελ. σκέψαι· τί σοι δεῖ πίστεως σαφεστέρας;
575.4 Με. ἔοικας· οὔτοι τοῦτό γ’ ἐξαρνήσομαι.
580.1 Ελ. τίς οὖν διδάξει ς’ ἄλλος ἢ τὰ ς’ ὄμματα;
580.2 Με. ἐκεῖ νοσοῦμεν, ὅτι δάμαρτ’ ἄλλην ἔχω.
580.3 Ελ. οὐκ ἦλθον ἐς γῆν Τρωιάδ’, ἀλλ’ εἴδωλον ἦν.
580.4 Με. καὶ τίς βλέποντα σώματ’ ἐξεργάζεται;
580.5 Ελ. αἰθήρ, ὅθεν σὺ θεοπόνητ’ ἔχεις λέχη.
585.1 Με. τίνος πλάσαντος θεῶν; ἄελπτα γὰρ λέγεις.
585.2 Ελ. Ἥρας, διάλλαγμ’, ὡς Πάρις με μὴ λάβοι.
585.3 Με. πῶς οὖν; ἅμ’ ἐνθάδ’ ἦσθ’ 〈ἄρ’〉 ἐν Τροίαι θ’ ἅμα;
585.4 Ελ. τοὔνομα γένοιτ’ ἂν πολλαχοῦ, τὸ σῶμα δ’ οὔ.
585.5 Με. μέθες με· λύπης ἅλις ἔχων ἐλήλυθα.
590.1 Ελ. λείψεις γὰρ ἡμᾶς, τὰ δὲ κέν’ ἐξάξεις λέχη;
590.2 Με. καὶ χαῖρέ γ’, Ἑλένηι προσφερὴς ὁθούνεκ’ εἶ.
590.3 Ελ. ἀπωλόμην· λαβοῦσά ς’ οὐχ ἕξω πόσιν.
590.4 Με. τοὐκεῖ με μέγεθος τῶν κακῶν πείθει, σὺ δ’ οὔ.
590.5 Ελ. οἲ ’γώ· τίς ἡμῶν ἐγένετ’ ἀθλιωτέρα;
595.1 οἱ φίλτατοι λείπουσί μ’ οὐδ’ ἀφίξομαι
595.2 Ἕλληνας οὐδὲ πατρίδα τὴν ἐμήν ποτε.
595.3 ΘΕΡΑΠΩΝ
597.1 Μενέλαε, μαστεύων σε κιγχάνω μόλις,
597.2 πᾶσαν πλανηθεὶς τήνδε βάρβαρον χθόνα,
597.3 πεμφθεὶς ἑταίρων τῶν λελειμμένων ὕπο. Με. τί δ’ ἔστιν; οὔ που βαρβάρων συλᾶσθ’ ὕπο;
597.4 Θε. θαυμάστ’, ἔλασσον τοὔνομ’ ἢ τὸ πρᾶγμ’ ἔχον.
597.5 Με. λέγ’· ὡς φέρεις τι τῆιδε τῆι σπουδῆι νέον.
597.6 Θε. λέγω πόνους σε μυρίους τλῆναι μάτην. Με. παλαιὰ θρηνεῖς πήματ’· ἀγγέλλεις δὲ τί;
605.1 Θε. βέβηκεν ἄλοχος σὴ πρὸς αἰθέρος πτυχὰς
605.2 ἀρθεῖς’ ἄφαντος· οὐρανῶι δὲ κρύπτεται
605.3

λιποῦσα σεμνὸν ἄντρον οὗ σφ’ ἐσώιζομεν,
τοσόνδε λέξας’· Ὦ ταλαίπωροι Φρύγες
πάντες τ’ Ἀχαιοί, δι’ ἔμ’ ἐπὶ Σκαμανδρίοις
ἀκταῖσιν Ἥρας μηχαναῖς ἐθνήισκετε,
δοκοῦντες Ἑλένην οὐκ ἔχοντ’ ἔχειν Πάριν.
ἐγὼ δ’, ἐπειδὴ χρόνον ἔμειν’ ὅσον μ’ ἐχρῆν,
τὸ μόρσιμον σώσασα πατέρ’ ἐς οὐρανὸν
ἄπειμι· φήμας δ’ ἡ τάλαινα Τυνδαρὶς
ἄλλως κακὰς ἤκουσεν οὐδὲν αἰτία.
ὦ χαῖρε, Λήδας θύγατερ· ἐνθάδ’ ἦσθ’ ἄρα.
ἐγὼ δέ ς’ ἄστρων ὡς βεβηκυῖαν μυχοὺς
ἤγγελλον εἰδὼς οὐδὲν ὡς ὑπόπτερον
δέμας φοροίης. οὐκ ἐῶ σε κερτομεῖν
ἡμᾶς τόδ’ αὖθις, ὡς ἄδην ἐν Ἰλίωι
πόνους παρεῖχες σῶι πόσει καὶ συμμάχοις.
Με. τοῦτ’ ἔστ’ ἐκεῖνο· ξυμβεβᾶσί μοι λόγοι
οἱ τῆσδ’ ἀληθεῖς. ὦ ποθεινὸς ἡμέρα,
ἥ ς’ εἰς ἐμὰς ἔδωκεν ὠλένας λαβεῖν.
Ελ. ὦ φίλτατ’ ἀνδρῶν Μενέλεως, ὁ μὲν χρόνος
παλαιός, ἡ δὲ τέρψις ἀρτίως πάρα.
ἔλαβον ἀσμένα πόσιν ἐμόν, φίλαι,
περί τ’ ἐπέτασα χέρα φίλιον ἐν μακρᾶι
φλογὶ φαεσφόρωι.
Με. κἀγὼ σέ· πολλοὺς δ’ ἐν μέσωι λόγους ἔχων
οὐκ οἶδ’ ὁποίου πρῶτον ἄρξωμαι τὰ νῦν. Ελ. γέγηθα, κρατὶ δ’ ὀρθίους ἐθείρας
ἀνεπτέρωσα καὶ δάκρυ σταλάσσω,
περὶ δὲ γυῖα χέρας ἔβαλον ἡδονάν,
ὦ πόσις, ὡς λάβω.
Με. ὦ φιλτάτα πρόσοψις, οὐκ ἐμέμφθην·
ἔχω τὰ τοῦ Διὸς λέκτρα Λήδας τε.
Ελ. ἃν ὑπὸ λαμπάδων κόροι λεύκιπποι
ξυνομαίμονες ὤλβισαν ὤλβισαν ...
Με. τὸ πρόσθεν, ἐκ δόμων δὲ νοσφίσας ς’ ἐμοῦ
πρὸς ἄλλαν ἐλαύνει
θεὸς συμφορὰν τᾶσδε κρείσσω.
Ελ. τὸ κακὸν δ’ ἀγαθὸν σέ τε κἀμὲ συνάγαγεν, ὦ πόσι,
χρόνιον, ἀλλ’ ὅμως· ὀναίμαν τύχας.
Με. ὄναιο δῆτα· ταὐτὰ δὲ ξυνεύχομαι·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δυοῖν γὰρ ὄντοιν οὐχ ὁ μὲν τλήμων, ὁ δ’ οὔ.

645.4 Ελ. φίλαι φίλαι,

645.5 τὰ πάρος οὐκέτι στένομεν οὐδ’ ἀλγῶ. πόσιν ἔχομεν ἔχομεν ἐμὸν 〈ἐμὸν〉 ὃν ἔμενον ἔμενον ἐκ Τροίας πολυετῆ μολεῖν.

645.6 Με. ἔχεις, ἔχω τε ς’· ἡλίους δὲ μυρίους

645.7 μόλις διελθὼν ᾐσθόμην τὰ τῆς θεοῦ.

645.8 Ελ. ἐμὰ δὲ χαρμονᾶι δάκρυα πλέον ἔχει

655.1 χάριτος ἢ λύπας.

655.2 Με. τί φῶ; τίς ἂν τάδ’ ἤλπισεν βροτῶν ποτε;

655.3 Ελ. ἀδόκητον ἔχω σε πρὸς στέρνοις.

655.4 Με. κἀγὼ σέ, τὴν δοκοῦσαν Ἰδαίαν πόλιν

655.5 μολεῖν Ἰλίου τε μελέους πύργους.

660.1 πρὸς θεῶν, δόμων πῶς τῶν ἐμῶν ἀπεστάλης;

660.2 Ελ. ἒ ἕ· πικρὰς ἐς ἀρχὰς βαίνεις·

660.3 ἒ ἕ· πικρὰν δ’ ἐρευνᾶις φάτιν.

660.4 Με. λέγ’, ὡς ἀκουστά· πάντα δῶρα δαιμόνων.

664a Ελ. ἀπέπτυσα μὲν λόγον οἷον

664b οἷον ἐσοισόμεθα.

665.1 Με. ὅμως δὲ λέξον· ἡδύ τοι μόχθων κλύειν.

665.2 Ελ. οὐκ ἐπὶ βαρβάρου λέκτρα νεανία

665.3 πετομένας κώπας, πετομένου δ’ ἔρω-

665.4 τος ἀδίκων γάμων ...

665.5 Με. τίς 〈—〉 σε δαίμων ἢ πότμος συλᾶι πάτρας;

670.1 Ελ. ὁ Διὸς ὁ Διὸς ὦ πόσι με παῖς 〈Μαίας τ’〉

670.2 ἐπέλασεν Νείλωι.

670.3 Με. θαυμαστά· τοῦ πέμψαντος; ὢ δεινοὶ λόγοι.

670.4 Ελ. κατεδάκρυσα καὶ βλέφαρον ὑγραίνω δάκρυσιν· ἁ Διός μ’ ἄλοχος ὤλεσεν.

675.1 Με. Ἥρα; τί νῶιν χρήιζουσα προσθεῖναι κακόν;

675.2 Ελ. ὤμοι ἐγὼ κείνων λουτρῶν καὶ κρηνᾶν,

675.3 ἵνα θεαὶ μορφὰν ἐφαίδρυναν, εὖτ’

675.4 ἔμολον ἐς κρίσιν.

675.5 Με. τὰ δ’ εἰς κρίσιν σοι τῶνδ’ ἔθηχ’ Ἥρα κακῶν;

680.1 Ελ. Πάριν ὡς ἀφέλοιτο ... Με. πῶς; αὔδα.

680.2 Ελ. Κύπρις ὧι μ’ ἐπένευσεν ... Με. ὢ τλᾶμον.

680.3 Ελ. τλάμονα τλάμον’ ὧδ’ ἐπέλας’ Αἰγύπτωι.

680.4 Με. εἶτ’ ἀντέδωκ’ εἴδωλον, ὡς σέθεν κλύω.

680.5 Ελ. τὰ δὲ 〈σὰ〉 κατὰ μέλαθρα πάθεα πάθεα, μᾶ-

685.1 τερ, οἲ ’γώ. Με. τί φῄς;

685.2 Ελ. οὐκ ἔστι μάτηρ· ἀγχόνιον δὲ βρόχον

Eulogikon public reading copy · View original HTML at eulogikon.org

δι’ ἐμὰν κατεδήσατο δύσγαμον αἰσχύναν.
Με. ὤμοι· θυγατρὸς δ’ Ἑρμιόνης ἔστιν λόγος;
Ελ. ἄγαμος ἄτεκνος, ὦ πόσι, καταστένει
γάμον ἄγαμον αἰσχύνα.
Με. ὦ πᾶν κατ’ ἄκρας δῶμ’ ἐμὸν πέρσας Πάρις.
Ελ. τάδε καὶ σὲ διώλεσε μυριάδας τε
χαλκεόπλων Δαναῶν.
ἐμὲ δὲ πατρίδος ἀπο 〈πρὸ〉 κακόποτμον ἀραῖ-
ον ἔβαλε θεὸς ἀπὸ πόλεος ἀπό τε σέθεν,
ὅτε μέλαθρα λέχεά τ’ ἔλιπον οὐ λιποῦς’
ἐπ’ αἰσχροῖς γάμοις.
Χο. εἰ καὶ τὰ λοιπὰ τῆς τύχης εὐδαίμονος
τύχοιτε, πρὸς τὰ πρόσθεν ἀρκέσειεν ἄν. Θε. Μενέλαε, κἀμοὶ πρόσδοτον τῆς ἡδονῆς,
ἣν μανθάνω μὲν καὐτός, οὐ σαφῶς δ’ ἔχω.
Με. ἀλλ’, ὦ γεραιέ, καὶ σὺ κοινώνει λόγων.
Θε. οὐχ ἥδε μόχθων τῶν ἐν ’Ιλίωι βραβεύς;
Με. οὐχ ἥδε· πρὸς θεῶν δ’ ἦμεν ἠπατημένοι
[νεφέλης ἄγαλμ’ ἔχοντες ἐν χεροῖν λυγρόν].
Θε. [τί φῄς;]
νεφέλης ἄρ’ ἄλλως εἴχομεν πόνους πέρι;
Με. Ἥρας τάδ’ ἔργα καὶ θεῶν τρισσῶν ἔρις.
Θε. τί δ’; ὡς ἀληθῶς ἐστιν ἥδε σὴ δάμαρ;
Με. αὕτη· λόγοις ἐμοῖσι πίστευσον τάδε.
Θε. ὦ θύγατερ, ὁ θεὸς ὡς ἔφυ τι ποικίλον
καὶ δυστέκμαρτον, εὖ δέ πως πάντα στρέφει
[ἐκεῖσε κἀκεῖς’ ἀναφέρων· ὁ μὲν πονεῖ,
ὁ δ’ οὐ πονήσας αὖθις ὄλλυται κακῶς,
βέβαιον οὐδὲν τῆς ἀεὶ τύχης ἔχων.
σὺ γὰρ πόσις τε σὸς πόνων μετέσχετε,
σὺ μὲν λόγοισιν, ὁ δὲ δορὸς προθυμίαι.
σπεύδων δ’ ὅτ’ ἔσπευδ’ οὐδὲν εἶχε· νῦν δ’ ἔχει
αὐτόματα πράξας τἀγάθ’ εὐτυχέστατα].
οὐκ ἄρα γέροντα πατέρα καὶ Διοσκόρω ᾔσχυνας οὐδ’ ἔδρασας οἷα κλῄζεται.
νῦν ἀνανεοῦμαι τὸν σὸν ὑμέναιον πάλιν
καὶ λαμπάδων μεμνήμεθ’ ἃς τετραόροις
ἵπποις τροχάζων παρέφερον· σὺ δ’ ἐν δίφροις
σὺν τῶιδε νύμφη δῶμ’ ἔλειπες ὄλβιον.
κακὸς γὰρ ὅστις μὴ σέβει τὰ δεσποτῶν

Eulogikon public reading copy · View original HTML at eulogikon.org

καὶ ξυγγέγηθε καὶ συνωδίνει κακοῖς.
[ἐγὼ μὲν εἴην, κεἰ πέφυχ’ ὅμως λάτρις,
ἐν τοῖσι γενναίοισιν ἠριθμημένος
δούλοισι, τοὔνομ’ οὐκ ἔχων ἐλεύθερον,
τὸν νοῦν δέ· κρεῖσσον γὰρ τόδ’ ἢ δυοῖν κακοῖν
ἕν’ ὄντα χρῆσθαι, τὰς φρένας τ’ ἔχειν κακὰς
ἄλλων τ’ ἀκούειν δοῦλον ὄντα τῶν πέλας.]
Με. ἄγ’, ὦ γεραιέ, πολλὰ μὲν παρ’ ἀσπίδα
μοχθήματ’ ἐξέπλησας ἐκπονῶν ἐμοί,
καὶ νῦν μετασχὼν τῆς ἐμῆς εὐπραξίας
ἄγγειλον ἐλθὼν τοῖς λελειμμένοις φίλοις
τάδ’ ὡς ἔχονθ’ ηὕρηκας οὗ τ’ ἐσμὲν τύχης,
μένειν τ’ ἐπ’ ἀκταῖς τούς τ’ ἐμοὺς καραδοκεῖν
ἀγῶνας οἳ μένουσί μ’, ὡς ἐλπίζομεν,
εἰ τήνδε πως δυναίμεθ’ ἐκκλέψαι χθονός,
φρουρεῖν 〈θ’〉 ὅπως ἂν εἰς ἓν ἐλθόντες τύχης
ἐκ βαρβάρων σωθῶμεν, ἢν δυνώμεθα.
Θε. ἔσται τάδ’, ὦναξ, ἀλλά τοι τὰ μάντεων
ἐσεῖδον ὡς φαῦλ’ ἐστὶ καὶ ψευδῶν πλέα.
[οὐδ’ ἦν ἄρ’ ὑγιὲς οὐδὲν ἐμπύρου φλογὸς
οὐδὲ πτερωτῶν φθέγματ’· εὔηθες δέ τοι
τὸ καὶ δοκεῖν ὄρνιθας ὠφελεῖν βροτούς.]
Κάλχας γὰρ οὐκ εἶπ’ οὐδ’ ἐσήμηνε στρατῶι νεφέλης ὑπερθνήισκοντας εἰσορῶν φίλους
οὐδ’ Ἕλενος, ἀλλὰ πόλις ἀνηρπάσθη μάτην.
[εἴποις ἄν, οὕνεχ’ ὁ θεὸς οὐκ ἠβούλετο.
τί δῆτα μαντευόμεθα; τοῖς θεοῖσι χρὴ
θύοντας αἰτεῖν ἀγαθά, μαντείας δ’ ἐᾶν·
βίου γὰρ ἄλλως δέλεαρ ηὑρέθη τόδε,
κοὐδεὶς ἐπλούτησ’ ἐμπύροισιν ἀργὸς ὤν·
γνώμη δ’ ἀρίστη μάντις ἥ τ’ εὐβουλία.]
Χο. ἐς ταὐτὸ κἀμοὶ δόξα μάντεων πέρι
χωρεῖ γέροντι· τοὺς θεοὺς ἔχων τις ἂν
φίλους ἀρίστην μαντικὴν ἔχοι δόμοις.
Ελ. εἶέν· τὰ μὲν δὴ δεῦρ’ ἀεὶ καλῶς ἔχει.
ὅπως δ’ ἐσώθης, ὦ τάλας, Τροίας ἄπο
κέρδος μὲν οὐδὲν εἰδέναι, πόθος δέ τις
[τὰ τῶν φίλων φίλοισιν αἰσθέσθαι κακά].
Με. ἦ πόλλ’ ἀνήρου μ’ ἑνὶ λόγωι μιᾶι θ’ ὁδῶι.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τί σοι λέγοιμ’ ἂν τὰς ἐν Αἰγαίωι φθορὰς
τὰ Ναυπλίου τ’ Εὐβοικὰ πυρπολήματα
Κρήτης τε Λιβύης θ’ ἃς ἐπεστράφην πόλεις
σκοπιάς τε Περσέως; οὐ γὰρ ἐμπλήσαιμί ς’ ἂν
μύθοις, λέγων δ’ ἄν σοι κάκ’ ἀλγοίην ἔτι
[πάσχων τ’ ἔκαμνον· δὶς δὲ λυπηθεῖμεν ἄν].
Ελ. καὶ πλείον’ εἶπας ἤ ς’ ἀνηρόμην ἐγώ.
ἓν δ’ εἰπὲ τἄλλα παραλιπών· πόσον χρόνον
πόντου ’πὶ νώτοις ἅλιον ἐφθείρου πλάνον;
Με. ἐν ναυσὶν ὢν πρὸς τοῖσιν ἐν Τροίαι δέκα
ἔτεσι διῆλθον ἑπτὰ περιδρομὰς ἐτῶν.
Ελ. φεῦ φεῦ· μακρόν γ’ ἔλεξας, ὦ τάλας, χρόνον·
σωθεὶς δ’ ἐκεῖθεν ἐνθάδ’ ἦλθες ἐς σφαγάς.
Με. πῶς φῄς; τί λέξεις; ὥς μ’ ἀπώλεσας, γύναι.
Ελ. [φεῦγ’ ὡς τάχιστα τῆσδ’ ἀπαλλαχθεὶς χθονός.]
θανῆι πρὸς ἀνδρὸς οὗ τάδ’ ἐστὶ δώματα.
Με. τί χρῆμα δράσας ἄξιον τῆς συμφορᾶς;
Ελ. ἥκεις ἄελπτος ἐμποδὼν ἐμοῖς γάμοις.
Με. ἦ γὰρ γαμεῖν τις τἄμ’ ἐβουλήθη λέχη;
Ελ. ὕβριν γ’ ὑβρίζων ἐς ἐμέ, κἂν ἔτλην ἐγώ.
Με. ἰδίαι σθένων τις ἢ τυραννεύων χθονός;
Ελ. ὃς γῆς ἀνάσσει τῆσδε Πρωτέως γόνος.
Με. τόδ’ ἔστ’ ἐκεῖν’ αἴνιγμ’ ὃ προσπόλου κλύω.
Ελ. ποίοις ἐπιστὰς βαρβάροις πυλώμασιν;
Με. τοῖσδ’, ἔνθεν ὥσπερ πτωχὸς ἐξηλαυνόμην.
Ελ. οὔ που προσῄτεις βίοτον; ὢ τάλαιν’ ἐγώ.
Με. τοὔργον μὲν ἦν τοῦτ’, ὄνομα δ’ οὐκ εἶχεν τόδε.
Ελ. πάντ’ οἶσθ’ ἄρ’, ὡς ἔοικας, ἀμφ’ ἐμῶν γάμων.
Με. οἶδ’· εἰ δὲ λέκτρα διέφυγες, τόδ’ οὐκ ἔχω.
Ελ. ἄθικτον εὐνὴν ἴσθι σοι σεσωμένην.
Με. τίς τοῦδε πειθώ; φίλα γάρ, εἰ σαφῆ λέγεις.
Ελ. ὁρᾶις τάφου τοῦδ’ ἀθλίους ἕδρας ἐμάς;
Με. ὁρῶ, τάλαινα, στιβάδας· ὧν τί σοι μέτα;
Ελ. ἐνταῦθα λέκτρων ἱκετεύομεν φυγάς. Με. βωμοῦ σπανίζους’ ἢ νόμοισι βαρβάροις;
Ελ. ἐρρύεθ’ ἡμᾶς τοῦτ’ ἴσον ναοῖς θεῶν.
Με. οὐδ’ ἄρα πρὸς οἴκους ναυστολεῖν 〈σ’〉 ἔξεστί μοι;
Ελ. ξίφος μένει σε μᾶλλον ἢ τοὐμὸν λέχος.
Με. οὕτως ἂν εἴην ἀθλιώτατος βροτῶν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ελ. μή νυν καταιδοῦ, φεῦγε δ’ ἐκ τῆσδε χθονός.
Με. λιπὼν σέ; Τροίαν ἐξέπερσα σὴν χάριν.
Ελ. κρεῖσσον γὰρ ἤ σε τἄμ’ ἀποκτεῖναι λέχη.
Με. ἄνανδρά γ’ εἶπας Ἰλίου τ’ οὐκ ἄξια.
Ελ. οὐκ ἂν κτάνοις τύραννον, ὃ σπεύδεις ἴσως.
Με. οὕτω σιδήρωι τρωτὸν οὐκ ἔχει δέμας;
Ελ. εἴσηι· τὸ τολμᾶν δ’ ἀδύνατ’ ἀνδρὸς οὐ σοφοῦ.
Με. σιγῆι παράσχω δῆτ’ ἐμὰς δῆσαι χέρας;
Ελ. ἐς ἄπορον ἥκεις· δεῖ δὲ μηχανῆς τινος.
Με. δρῶντας γὰρ ἢ μὴ δρῶντας ἥδιον θανεῖν.
Ελ. μί’ ἔστιν ἐλπὶς ἧι μόνηι σωθεῖμεν ἄν.
Με. ὠνητὸς ἢ τολμητὸς ἢ λόγων ὕπο;
Ελ. εἰ μὴ τύραννός 〈σ’〉 ἐκπύθοιτ’ ἀφιγμένον.
Με. οὐ γνώσεταί μ’ ὅς εἰμ’, ἐγῶιδ’· ἐρεῖ δὲ τίς;
Ελ. ἔστ’ ἔνδον αὐτῶι ξύμμαχος θεοῖς ἴση.
Με. φήμη τις οἴκων ἐν μυχοῖς ἱδρυμένη;
Ελ. οὔκ, ἀλλ’ ἀδελφή· Θεονόην καλοῦσί νιν.
Με. χρηστήριον μὲν τοὔνομ’· ὅτι δὲ δρᾶι φράσον. Ελ. πάντ’ οἶδ’, ἐρεῖ τε συγγόνωι παρόντα σε.
Με. θνήισκοιμεν ἄν· λαθεῖν γὰρ οὐχ οἷόν τέ μοι.
Ελ. ἴσως ἂν ἀναπείσαιμεν ἱκετεύοντέ νιν ...
Με. τί χρῆμα δρᾶσαι; τίν’ ὑπάγεις μ’ ἐς ἐλπίδα;
Ελ. παρόντα γαίαι μὴ φράσαι σε συγγόνωι.
Με. πείσαντε δ’ ἐκ γῆς διορίσαιμεν ἂν πόδα;
Ελ. κοινῆι γ’ ἐκείνηι ῥαιδίως, λάθραι δ’ ἂν οὔ.
Με. σὸν ἔργον, ὡς γυναικὶ πρόσφορον γυνή.
Ελ. ὡς οὐκ ἄχρωστα γόνατ’ ἐμῶν ἕξει χερῶν.
Με. φέρ’, ἢν δὲ δὴ νῶιν μὴ ἀποδέξηται λόγους;
Ελ. θανῆι· γαμοῦμαι δ’ ἡ τάλαιν’ ἐγὼ βίαι.
Με. προδότις ἂν εἴης· τὴν βίαν σκήψας’ ἔχεις.
Ελ. ἀλλ’ ἁγνὸν ὅρκον σὸν κάρα κατώμοσα ...
Με. τί φήις; θανεῖσθαι; κοὔποτ’ ἀλλάξεις λέχη;
Ελ. ταὐτῶι ξίφει γε· κείσομαι δὲ σοῦ πέλας.
Με. ἐπὶ τοῖσδε τοίνυν δεξιᾶς ἐμῆς θίγε.
Ελ. ψαύω, θανόντος σοῦ τόδ’ ἐκλείψειν φάος.
Με. κἀγὼ στερηθεὶς σοῦ τελευτήσειν βίον.
Ελ. πῶς οὖν θανούμεθ’ ὥστε καὶ δόξαν λαβεῖν;
Με. τύμβου ’πὶ νώτοις σὲ κτανὼν ἐμὲ κτενῶ.
πρῶτον δ’ ἀγῶνα μέγαν ἀγωνιούμεθα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

λέκτρων ὑπὲρ σῶν· ὁ δὲ θέλων ἴτω πέλας.
τὸ Τρωϊκὸν γὰρ οὐ καταισχυνῶ κλέος
οὐδ’ Ἑλλάδ’ ἐλθὼν λήψομαι πολὺν ψόγον,
ὅστις Θέτιν μὲν ἐστέρης’ Ἀχιλλέως,
Τελαμωνίου δ’ Αἴαντος εἰσεῖδον σφαγὰς
τὸν Νηλέως τ’ ἄπαιδα· διὰ δὲ τὴν ἐμὴν οὐκ ἀξιώσω κατθανεῖν δάμαρτ’ ἐγώ;
μάλιστά γ’· εἰ γάρ εἰσιν οἱ θεοὶ σοφοί,
εὔψυχον ἄνδρα πολεμίων θανόνθ’ ὕπο
κούφηι καταμπίσχουσιν ἐν τύμβωι χθονί,
κακοὺς δ’ ἐφ’ ἕρμα στερεὸν ἐκβάλλουσι γῆς.
Χο. ὦ θεοί, γενέσθω δή ποτ’ εὐτυχὲς γένος
τὸ Ταντάλειον καὶ μεταστήτω κακῶν.
Ελ. οἲ ’γὼ τάλαινα· τῆς τύχης γὰρ ὧδ’ ἔχω·
Μενέλαε, διαπεπράγμεθ’· ἐκβαίνει δόμων
ἡ θεσπιωιδὸς Θεονόη· κτυπεῖ δόμος
κλήιθρων λυθέντων. φεῦγ’· ἀτὰρ τί φευκτέον;
ἀποῦσα γάρ σε καὶ παροῦς’ ἀφιγμένον
δεῦρ’ οἶδεν. ὦ δύστηνος, ὡς ἀπωλόμην.
Τροίας δὲ σωθεὶς κἀπὸ βαρβάρου χθονὸς
ἐς βάρβαρ’ ἐλθὼν φάσγαν’ αὖθις ἐμπεσῆι.
ΘΕΟΝΟΗ
ἡγοῦ σύ μοι φέρουσα λαμπτήρων σέλας
θείου τε σεμνὸν θεσμὸν αἰθέρος μυχούς,
ὡς πνεῦμα καθαρὸν οὐρανοῦ δεξώμεθα·
σὺ δ’ αὖ κέλευθον εἴ τις ἔβλαψεν ποδὶ
στείβων ἀνοσίωι, δὸς καθαρσίωι φλογί,
κροῦσόν τε πεύκην, ἵνα διεξέλθω, πάρος·
νόμον δὲ τὸν ἐμὸν θεοῖσιν ἀποδοῦσαι πάλιν
ἐφέστιον φλόγ’ ἐς δόμους κομίζετε.
Ἑλένη, τί τἀμά—πῶς ἔχει; —θεσπίσματα;
ἥκει πόσις σὸς Μενέλεως ὅδ’ ἐμφανής,
νεῶν στερηθεὶς τοῦ τε σοῦ μιμήματος.
ὦ τλῆμον, οἵους διαφυγὼν ἦλθες πόνους,
οὐδ’ οἶσθα νόστον οἴκαδ’ εἴτ’ αὐτοῦ μενεῖς·
ἔρις γὰρ ἐν θεοῖς σύλλογός τε σοῦ πέρι
ἔσται πάρεδρος Ζηνὶ τῶιδ’ ἐν ἤματι.
Ἥρα μέν, ἥ σοι δυσμενὴς πάροιθεν ἦν,
νῦν ἐστιν εὔνους κἀς πάτραν σῶσαι θέλει

ξὺν τῆιδ’, ἵν’ Ἑλλὰς τοὺς Ἀλεξάνδρου γάμους
δώρημα Κύπριδος ψευδονύμφευτον μάθηι·
Κύπρις δὲ νόστον σὸν διαφθεῖραι θέλει,
ὡς μὴ ’ξελεγχθῆι μηδὲ πριαμένη φανῆι
τὸ κάλλος Ἑλένης οὕνεκ’ ἀνονήτοις γάμοις.
τέλος δ’ ἐφ’ ἡμῖν εἴθ’, ἃ βούλεται Κύπρις,
λέξας’ ἀδελφῶι 〈σ’〉 ἐνθάδ’ ὄντα διολέσω
εἴτ’ αὖ μεθ’ Ἥρας στᾶσα σὸν σώσω βίον,
κρύψας’ ὅμαιμον, ὅς με προστάσσει τάδε
εἰπεῖν, ὅταν γῆν τήνδε νοστήσας τύχηις.
[τίς εἶς’ ἀδελφῶι τόνδε σημανῶν ἐμῶι
παρόνθ’, ὅπως ἂν τοὐμὸν ἀσφαλῶς ἔχηι;]
Ελ. ὦ παρθέν’, ἱκέτις ἀμφὶ σὸν πίτνω γόνυ
καὶ προσκαθίζω θᾶκον οὐκ εὐδαίμονα
ὑπέρ τ’ ἐμαυτῆς τοῦδέ θ’, ὃν μόλις ποτὲ
λαβοῦς’ ἐπ’ ἀκμῆς εἰμι κατθανόντ’ ἰδεῖν·
μή μοι κατείπηις σῶι κασιγνήτωι πόσιν
τόνδ’ εἰς ἐμὰς ἥκοντα φίλτατον χέρας, σῶσον δέ, λίσσομαί σε· συγγόνωι δὲ σῶι
τὴν εὐσέβειαν μὴ προδῶις τὴν σήν ποτε, χάριτας πονηρὰς κἀδίκους ὠνουμένη.
μισεῖ γὰρ ὁ θεὸς τὴν βίαν, τὰ κτητὰ δὲ
κτᾶσθαι κελεύει πάντας οὐκ ἐς ἁρπαγάς.
[ἐατέος δ’ ὁ πλοῦτος ἄδικός τις ὤν·
κοινὸς γάρ ἐστιν οὐρανὸς πᾶσιν βροτοῖς
καὶ γαῖ’, ἐν ἧι χρὴ δώματ’ ἀναπληρουμένους
τἀλλότρια μὴ σχεῖν μηδ’ ἀφαιρεῖσθαι βίαι.]
ἡμᾶς δὲ καιρίως μέν, ἀθλίως δ’ ἐμοὶ
Ἑρμῆς ἔδωκε πατρὶ σῶι σώιζειν πόσει
τῶιδ’ ὃς πάρεστι κἀπολάζυσθαι θέλει.
[πῶς οὖν θανὼν ἂν ἀπολάβοι; κεῖνος δὲ πῶς
τὰ ζῶντα τοῖς θανοῦσιν ἀποδοίη ποτ’ ἄν;
ἤδη τὰ τοῦ θεοῦ καὶ τὰ τοῦ πατρὸς σκόπει·]
πότερον ὁ δαίμων χὠ θανὼν τὰ τῶν πέλας
βούλοιντ’ ἂν ἢ 〈οὐ〉 βούλοιντ’ ἂν ἀποδοῦναι πάλιν;
δοκῶ μέν. οὔκουν χρή σε συγγόνωι πλέον
νέμειν ματαίωι μᾶλλον ἢ χρηστῶι πατρί.
εἰ δ’ οὖσα μάντις καὶ τὰ θεῖ’ ἡγουμένη
τὸ μὲν δίκαιον τοῦ πατρὸς διαφθερεῖς,
τῶι δ’ οὐ δικαίωι συγγόνωι δώσεις χάριν,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

αἰσχρὸν τὰ μέν σε θεῖα πάντ’ ἐξειδέναι
τά τ’ ὄντα καὶ μέλλοντα, τὰ δὲ δίκαια μή.
τὴν δ’ ἀθλίαν ἔμ’, οἷσιν ἔγκειμαι κακοῖς,
ῥῦσαι, πάρεργον δοῦσα τοῦτο τῆς δίκης.
Ἑλένην γὰρ οὐδεὶς ὅστις οὐ στυγεῖ βροτῶν·
ἣ κλήιζομαι καθ’ Ἑλλάδ’ ὡς προδοῦς’ ἐμὸν πόσιν Φρυγῶν ᾤικησα πολυχρύσους δόμους.
ἢν δ’ Ἑλλάδ’ ἔλθω κἀπιβῶ Σπάρτης 〈πάλιν〉,
κλυόντες εἰσιδόντες ὡς τέχναις θεῶν
ὤλοντ’, ἐγὼ δὲ προδότις οὐκ ἄρ’ ἦ φίλων,
πάλιν μ’ ἀνάξους’ ἐπὶ τὸ σῶφρον αὖθις αὖ,
ἐδνώσομαί τε θυγατέρ’, ἣν οὐδεὶς γαμεῖ,
τὴν δ’ ἐνθάδ’ ἐκλιποῦς’ ἀλητείαν πικρὰν
ὄντων ἐν οἴκοις χρημάτων ὀνήσομαι.
κεἰ μὲν θανὼν ὅδ’ ἐν πυρᾶι κατεσφάγη,
πρόσω σφ’ ἀπόντα δακρύοις ἂν ἠγάπων·
νῦν δ’ ὄντα καὶ σωθέντ’ ἀφαιρεθήσομαι;
μὴ δῆτα, παρθέν’, ἀλλά ς’ ἱκετεύω τόδε·
δὸς τὴν χάριν μοι τήνδε καὶ μιμοῦ τρόπους
πατρὸς δικαίου· παισὶ γὰρ κλέος τόδε
κάλλιστον, ὅστις ἐκ πατρὸς χρηστοῦ γεγὼς
ἐς ταὐτὸν ἦλθε τοῖς τεκοῦσι τοὺς τρόπους.
Χο. οἰκτρὸν μὲν οἱ παρόντες ἐν μέσωι λόγοι,
οἰκτρὰ δὲ καὶ σύ. τοὺς δὲ Μενέλεω ποθῶ
λόγους ἀκοῦσαι τίνας ἐρεῖ ψυχῆς πέρι.
Με. ἐγὼ σὸν οὔτ’ ἂν προσπεσεῖν τλαίην γόνυ
οὔτ’ ἂν δακρῦσαι βλέφαρα· τὴν Τροίαν γὰρ ἂν
δειλοὶ γενόμενοι πλεῖστον αἰσχύνοιμεν ἄν. καίτοι λέγουσιν ὡς πρὸς ἀνδρὸς εὐγενοῦς
ἐν ξυμφοραῖσι δάκρυ’ ἀπ’ ὀφθαλμῶν βαλεῖν.
ἀλλ’ οὐχὶ τοῦτο τὸ καλόν, εἰ καλὸν τόδε,
αἱρήσομαι ’γὼ πρόσθε τῆς εὐψυχίας.
ἀλλ’, εἰ μὲν ἄνδρα σοι δοκεῖ σῶσαι ξένον
ζητοῦντά γ’ ὀρθῶς ἀπολαβεῖν δάμαρτ’ ἐμήν,
ἀπόδος τε καὶ πρὸς σῶσον· εἰ δὲ μὴ δοκεῖ,
ἐγὼ μὲν οὐ νῦν πρῶτον ἀλλὰ πολλάκις
ἄθλιος ἂν εἴην, σὺ δὲ γυνὴ κακὴ φανῆι.
ἃ δ’ ἄξι’ ἡμῶν καὶ δίκαι’ ἡγούμεθα
καὶ σῆς μάλιστα καρδίας ἀνθάψεται,
λέξω τάδ’ ἀμφὶ μνῆμα σοῦ πατρὸς πεσών·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ὦ γέρον, ὃς οἰκεῖς τόνδε λάινον τάφον,
ἀπόδος, ἀπαιτῶ τὴν ἐμὴν δάμαρτά σε,
ἣν Ζεὺς ἔπεμψε δεῦρό σοι σώιζειν ἐμοί.
οἶδ’ οὕνεχ’ ἡμῖν οὔποτ’ ἀποδώσεις θανών·
ἀλλ’ ἥδε πατέρα νέρθεν ἀνακαλούμενον
οὐκ ἀξιώσει τὸν πρὶν εὐκλεέστατον
κακῶς ἀκοῦσαι· κυρία γάρ ἐστι νῦν.
ὦ νέρτερ’ Ἅιδη, καὶ σὲ σύμμαχον καλῶ,
ὃς πόλλ’ ἐδέξω τῆσδ’ ἕκατι σώματα
πεσόντα τὠμῶι φασγάνωι, μισθὸν δ’ ἔχεις·
ἢ νῦν ἐκείνους ἀπόδος ἐμψύχους πάλιν
ἢ τήνδ’ ἀνάγκασόν γ’ ἔτ’ εὐσεβοῦς πατρὸς
κρείσσω φανεῖσαν τἄμ’ ἀποδοῦναι λέχη.
εἰ δ’ ἐμὲ γυναῖκα τὴν ἐμὴν συλήσετε,
ἅ σοι παρέλιπεν ἥδε τῶν λόγων φράσω.
ὅρκοις κεκλήιμεθ’, ὡς μάθηις, ὦ παρθένε,
πρῶτον μὲν ἐλθεῖν διὰ μάχης σῶι συγγόνωι,
κἀκεῖνον ἢ ’μὲ δεῖ θανεῖν· ἁπλοῦς λόγος.
ἢν δ’ ἐς μὲν ἀλκὴν μὴ πόδ’ ἀντιθῆι ποδί,
λιμῶι δὲ θηρᾶι τύμβον ἱκετεύοντε νώ,
κτανεῖν δέδοκται τήνδε μοι κἄπειτ’ ἐμὸν πρὸς ἧπαρ ὦσαι δίστομον ξίφος τόδε
τύμβου ’πὶ νώτοις τοῦδ’, ἵν’ αἵματος ῥοαὶ
τάφου καταστάζωσι· κεισόμεσθα δὲ
νεκρὼ δύ’ ἑξῆς τῶιδ’ ἐπὶ ξεστῶι τάφωι,
ἀθάνατον ἄλγος σοί, ψόγον δὲ σῶι πατρί.
οὐ γὰρ γαμεῖ τήνδ’ οὔτε σύγγονος σέθεν
οὔτ’ ἄλλος οὐδείς· ἀλλ’ ἐγώ σφ’ ἀπάξομαι
εἰ μὴ πρὸς οἴκους δυνάμεθ’ ἀλλὰ πρὸς νεκρούς.
[τί ταῦτα; δακρύοις εἰς τὸ θῆλυ τρεπόμενος
ἐλεινὸς ἦν ἂν μᾶλλον ἢ δραστήριος.
κτεῖν’, εἰ δοκεῖ σοι· δυσκλεᾶς γὰρ οὐ κτενεῖς·
μᾶλλόν γε μέντοι τοῖς ἐμοῖς πείθου λόγοις,
ἵν’ ἧις δικαία καὶ δάμαρτ’ ἐμὴν λάβω.]
Χο. ἐν σοὶ βραβεύειν, ὦ νεᾶνι, τοὺς λόγους·
οὕτω δὲ κρῖνον ὡς ἅπασιν ἁνδάνηις.
Θε. ἐγὼ πέφυκά τ’ εὐσεβεῖν καὶ βούλομαι
φιλῶ τ’ ἐμαυτήν, καὶ κλέος τοὐμοῦ πατρὸς οὐκ ἂν μιάναιμ’, οὐδὲ συγγόνωι χάριν
δοίην ἂν ἐξ ἧς δυσκλεὴς φανήσομαι.

ἔνεστι δ’ ἱερὸν τῆς δίκης ἐμοὶ μέγα
ἐν τῆι φύσει· καὶ τοῦτο Νηρέως πάρα
ἔχουσα σώιζειν, Μενέλεως, πειράσομαι.
Ἥραι δ’, ἐπείπερ βούλεταί ς’ εὐεργετεῖν,
ἐς ταὐτὸν οἴσω ψῆφον· ἡ Κύπρις δέ μοι
ἵλεως μὲν εἴη, συμβέβηκε δ’ οὐδαμοῦ.
[πειράσομαι δὲ παρθένος μένειν ἀεί.]
ἃ δ’ ἀμφὶ τύμβωι τῶιδ’ ὀνειδίζεις πατρός,
ἡμῖν ὅδ’ αὑτὸς μῦθος· ἀδικοίημεν ἄν, εἰ μὴ ἀποδώσω· καὶ γὰρ ἂν κεῖνος βλέπων
ἀπέδωκεν ἂν σοὶ τήνδ’ ἔχειν, ταύτηι δὲ σέ.
καὶ γὰρ τίσις τῶνδ’ ἐστὶ τοῖς τε νερτέροις
καὶ τοῖς ἄνωθεν πᾶσιν ἀνθρώποις· ὁ νοῦς
τῶν κατθανόντων ζῆι μὲν οὔ, γνώμην δ’ ἔχει
ἀθάνατον εἰς ἀθάνατον αἰθέρ’ ἐμπεσών.
ὡς οὖν περαίνω μὴ μακράν, σιγήσομαι
ἅ μου καθικετεύσατ’ οὐδὲ μωρίαι
ξύμβουλος ἔσομαι τῆι κασιγνήτου ποτέ.
εὐεργετῶ γὰρ κεῖνον οὐ δοκοῦς’ ὅμως,
ἐκ δυσσεβείας ὅσιον εἰ τίθημί νιν.
αὐτοὶ μὲν οὖν ὁδόν τιν’ ἐξευρίσκετε,
ἐγὼ δ’ ἀποστᾶς’ ἐκποδὼν σιγήσομαι.
ἐκ τῶν θεῶν δ’ ἄρχεσθε χἰκετεύετε
τὴν μέν ς’ ἐᾶσαι πατρίδα νοστῆσαι Κύπριν,
Ἥρας δὲ τὴν ἔννοιαν ἐν ταὐτῶι μένειν
ἣν ἐς σὲ καὶ σὸν πόσιν ἔχει σωτηρίας.
σὺ δ’, ὦ θανών μοι πάτερ, ὅσον γ’ ἐγὼ σθένω,
οὔποτε κεκλήσηι δυσσεβὴς ἀντ’ εὐσεβοῦς.
Χο. οὐδείς ποτ’ ηὐτύχησεν ἔκδικος γεγώς,
ἐν τῶι δικαίωι δ’ ἐλπίδες σωτηρίας.
Ελ. Μενέλαε, πρὸς μὲν παρθένου σεσώμεθα·
τοὐνθένδε δ’ εἰς ἓν τοὺς λόγους φέροντε χρὴ
κοινὴν ξυνάπτειν μηχανὴν σωτηρίας.
Με. ἄκουε δή νυν· χρόνιος εἶ κατὰ στέγας
καὶ συντέθραψαι προσπόλοισι βασιλέως.
Ελ. τί τοῦτ’ ἔλεξας; ἐσφέρεις γὰρ ἐλπίδας
ὡς δή τι δράσων χρηστὸν ἐς κοινόν γε νῶιν. Με. πείσειας ἄν τιν’ οἵτινες τετραζύγων
ὄχων ἀνάσσους’ ὥστε νῶιν δοῦναι δίφρους;
Ελ. πείσαιμ’ 〈ἄν〉 · ἀλλὰ τίνα φυγὴν φευξούμεθα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

πεδίων ἄπειροι βαρβάρου γ’ ὄντες χθονός;
Με. ἀδύνατον εἶπας. φέρε, τί δ’ εἰ κρυφθεὶς δόμοις
κτάνοιμ’ ἄνακτα τῶιδε διστόμωι ξίφει;
Ελ. οὐκ ἄν 〈σ’〉 ἀνάσχοιτ’ οὐδὲ σιγήσειεν ἂν
μέλλοντ’ ἀδελφὴ σύγγονον κατακτανεῖν.
Με. ἀλλ’ οὐδὲ μὴν ναῦς ἔστιν ἧι σωθεῖμεν ἂν
φεύγοντες· ἣν γὰρ εἴχομεν θάλασσ’ ἔχει.
Ελ. ἄκουσον, ἤν τι καὶ γυνὴ λέξηι σοφόν. βούληι λέγεσθαι μὴ θανὼν λόγωι θανεῖν;
Με. κακὸς μὲν ὄρνις· εἰ δὲ κερδανῶ, λέγε.
ἕτοιμός εἰμι μὴ θανὼν λόγωι θανεῖν.
Ελ. καὶ μὴν γυναικείοις 〈σ’〉 ἂν οἰκτισαίμεθα
κουραῖσι καὶ θρήνοισι πρὸς τὸν ἀνόσιον.
Με. σωτηρίας δὲ τοῦτ’ ἔχει τί νῶιν ἄκος;
παλαιότης γὰρ τῶι λόγωι γ’ ἔνεστί τις.
Ελ. ὡς δὴ θανόντα ς’ ἐνάλιον κενῶι τάφωι
θάψαι τύραννον τῆσδε γῆς αἰτήσομαι.
Με. καὶ δὴ παρεῖκεν· εἶτα πῶς ἄνευ νεὼς
σωθησόμεσθα κενοταφοῦντ’ ἐμὸν δέμας;
Ελ. δοῦναι κελεύσω πορθμίδ’, ἧι καθήσομεν
κόσμον τάφωι σῶι πελαγίους ἐς ἀγκάλας.
Με. ὡς εὖ τόδ’ εἶπας πλὴν ἕν· εἰ χέρσωι ταφὰς
θεῖναι κελεύσει ς’, οὐδὲν ἡ σκῆψις φέρει.
Ελ. ἀλλ’ οὐ νομίζειν φήσομεν καθ’ Ἑλλάδα
χέρσωι καλύπτειν τοὺς θανόντας ἐναλίους. Με. τοῦτ’ αὖ κατορθοῖς· εἶτ’ ἐγὼ συμπλεύσομαι
καὶ συγκαθήσω κόσμον ἐν ταὐτῶι σκάφει.
Ελ. σὲ καὶ παρεῖναι δεῖ μάλιστα τούς τε σοὺς
πλωτῆρας οἵπερ ἔφυγον ἐκ ναυαγίας.
Με. καὶ μὴν ἐάνπερ ναῦν ἐπ’ ἀγκύρας λάβω,
ἀνὴρ παρ’ ἄνδρα στήσεται ξιφηφόρος.
Ελ. σὲ χρὴ βραβεύειν πάντα· πόμπιμοι μόνον
λαίφει πνοαὶ γένοιντο χἴλεως δρόμος.
Με. ἔσται· πόνους γὰρ δαίμονες παύσουσί μου.
ἀτὰρ θανόντα τοῦ μ’ ἐρεῖς πεπυσμένη;
Ελ. σοῦ· καὶ μόνος γε φάσκε διαφυγεῖν μόρον
Ἀτρέως πλέων σὺν παιδὶ καὶ θανόνθ’ ὁρᾶν.
Με. καὶ μὴν τάδ’ ἀμφίβληστρα σώματος ῥάκη
ξυμμάρτυρές σοι ναυτικῶν ἐρειπίων.
Ελ. ἐς καιρὸν ἦλθε, τότε δ’ ἄκαιρ’ ἀπώλλυτο·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τὸ δ’ ἄθλιον κεῖν’ εὐτυχὲς τάχ’ ἂν πέσοι.
Με. πότερα δ’ ἐς οἴκους σοι συνεισελθεῖν με χρὴ
ἢ πρὸς τάφωι τῶιδ’ ἥσυχοι καθώμεθα;
Ελ. αὐτοῦ μέν’· ἢν γάρ καί τι πλημμελές σε δρᾶι,
τάφος ς’ ὅδ’ ἂν ῥύσαιτο φάσγανόν τε σόν.
ἐγὼ δ’ ἐς οἴκους βᾶσα βοστρύχους τεμῶ
πέπλων τε λευκῶν μέλανας ἀνταλλάξομαι
παρῆιδί τ’ ὄνυχα φόνιον ἐμβαλῶ χροός.
μέγας γὰρ ἁγὼν καὶ βλέπω δύο ῥοπάς·
ἢ γὰρ θανεῖν δεῖ μ’, ἢν ἁλῶ τεχνωμένη,
ἢ πατρίδα τ’ ἐλθεῖν καὶ σὸν ἐκσῶσαι δέμας.
ὦ πότνι’ ἣ Δίοισιν ἐν λέκτροις πίτνεις
Ἥρα, δύ’ οἰκτρὼ φῶτ’ ἀνάψυξον πόνων,
αἰτούμεθ’ ὀρθὰς ὠλένας πρὸς οὐρανὸν
ῥίπτονθ’, ἵν’ οἰκεῖς ἀστέρων ποικίλματα.
σύ θ’, ἣ ’πὶ τὼμῶι κάλλος ἐκτήσω γάμωι,
κόρη Διώνης Κύπρι, μή μ’ ἐξεργάσηι.
ἅλις δὲ λύμης ἥν μ’ ἐλυμήνω πάρος τοὔνομα παρασχοῦς’, οὐ τὸ σῶμ’, ἐν βαρβάροις.
θανεῖν δ’ ἔασόν μ’, εἰ κατακτεῖναι θέλεις,
ἐν γῆι πατρώιαι. τί ποτ’ ἄπληστος εἶ κακῶν,
ἔρωτας ἀπάτας δόλιά τ’ ἐξευρήματα
ἀσκοῦσα φίλτρα θ’ αἱματηρὰ σωμάτων;
εἰ δ’ ἦσθα μετρία, τἄλλα γ’ ἡδίστη θεῶν
πέφυκας ἀνθρώποισιν· οὐκ ἄλλως λέγω.
Χο. σὲ τὰν ἐναύλοις ὑπὸ δενδροκόμοις
μουσεῖα καὶ θάκους ἐνί-
ζουσαν ἀναβοάσω,
τὰν ἀοιδοτάταν
ὄρνιθα μελωιδὸν
ἀηδόνα δακρυόεσσαν,
ἔλθ’ ὦ διὰ ξουθᾶν γενύων ἐλελιζομένα
θρήνων ἐμοὶ ξυνεργός,
Ἑλένας μελέους πόνους
τὸν Ἰλιάδων τ’ ἀει-
δούσαι δακρυόεντα πότμον
Ἀχαιῶν ὑπὸ λόγχαις,
ὅτ’ ἔδραμε ῥόθια πολιὰ βαρβάρωι πλάται ὃς ἔμολεν ἔμολε μέλεα Πριαμίδαις ἄγων
Λακεδαίμονος ἄπο λέχεα

Eulogikon public reading copy · View original HTML at eulogikon.org

σέθεν, ὦ Ἑλένα, Πάρις αἰνόγαμος
1120.2 πομπαῖσιν Ἀφροδίτας.
1120.3 πολλοὶ δ’ Ἀχαιῶν δορὶ καὶ πετρίναις
1120.4 ῥιπαῖσιν ἐκπνεύσαντες Ἅι-
1123a δαν μέλεον ἔχουσιν,
1123b ταλαινᾶν ἀλόχων
1124 κείραντες ἔθειραν,
1125.1 ἄνυμφα δὲ μέλαθρα κεῖται·
1125.2 πολλοὺς δὲ πυρσεύσας φλογερὸν σέλας ἀμφιρύταν
1125.3 Εὔβοιαν εἷλ’ Ἀχαιῶν
1125.4 μονόκωπος ἀνὴρ πέτραις
1125.5 Καφηρίσιν ἐμβαλών,
1130.1 Αἰγαίαις ἐνάλοις δόλιον
1130.2 ἀκταῖς ἀστέρα λάμψας·
1130.3 ἀλίμενα δ’ ὅρια μέλεα βαρβάρου στολᾶς
1130.4 τότ’ ἔσυτο πατρίδος ἀποπρὸ χειμάτων πνοᾶι
1130.5 γέρας οὐ γέρας ἀλλ’ ἔριν
1135.1 Δαναῶν Μενέλας ἐπὶ ναυσὶν ἄγων
1135.2 εἴδωλον ἱερὸν Ἥρας.
1135.3 ὅτι θεὸς ἢ μὴ θεὸς ἢ τὸ μέσον τίς φης’ ἐρευνάσας βροτῶν;
1140 μακρότατον πέρας ηὗρεν ὃς τὰ θεῶν ἐσορᾶι
1141-1142 δεῦρο καὶ αὖθις ἐκεῖσε καὶ πάλιν ἀμφιλόγοις
1143.1 πηδῶντ’ ἀνελπίστοις τύχαις.
1143.2 σὺ Διὸς ἔφυς, ὦ Ἑλένα, θυγάτηρ·
1145.1 πτανὸς γὰρ ἐν κόλποις σε Λή-
1145.2 δας ἐτέκνωσε πατήρ·
1145.3 κᾆιτ’ ἰαχήθης καθ’ Ἑλλανίαν
1145.4 προδότις ἄπιστος ἄδικος ἄθεος· οὐδ’ ἔχω
1145.5 τί τὸ σαφὲς ὅτι ποτ’ ἐν βροτοῖς τὸ τῶν θεῶν ἔπος ἀλαθὲς εὗρον.
1145.6 ἄφρονες ὅσοι τὰς ἀρετὰς πολέμωι
1145.7 λόγχαισί τ’ ἀλκαίου δορὸς
1153-1154 κτᾶσθ’, ἀμαθῶς θανάτωι πόνους καταλυόμενοι.
1155-1156 εἰ γὰρ ἅμιλλα κρινεῖ νιν αἵματος, οὔποτ’ ἔρις
1157.1 λείψει κατ’ ἀνθρώπων πόλεις·
1157.2 αἳ Πριαμίδος γᾶς ἔλιπον θαλάμους,
1157.3 ἐξὸν διορθῶσαι λόγοις
1160.1 σὰν ἔριν, ὦ Ἑλένα.
1160.2 νῦν δ’ οἱ μὲν Ἅιδαι μέλονται κάτω,
1160.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τείχεα δὲ φλογερὸς ὥστε Διὸς ἐπέσυτο φλόξ,
ἐπὶ δὲ πάθεα πάθεσι φέρεις ἀθλίοις συμφοραῖς αἰλίνοις.
ΘΕΟΚΛΥΜΕΝΟΣ
ὦ χαῖρε, πατρὸς μνῆμ’· ἐπ’ ἐξόδοισι γὰρ
ἔθαψα Πρωτεῦ ς’ ἕνεκ’ ἐμῆς προσρήσεως·
ἀεὶ δέ ς’ ἐξιών τε κἀσιὼν δόμους
Θεοκλύμενος παῖς ὅδε προσεννέπω, πάτερ.
ὑμεῖς μὲν οὖν κύνας τε καὶ θηρῶν βρόχους,
δμῶες, κομίζετ’ ἐς δόμους τυραννικούς.
ἐγὼ δ’ ἐμαυτὸν πόλλ’ ἐλοιδόρησα δή·
οὐ γάρ τι θανάτωι τοὺς κακοὺς κολάζομεν.
καὶ νῦν πέπυσμαι φανερὸν Ἑλλήνων τινὰ
ἐς γῆν ἀφῖχθαι καὶ λεληθέναι σκοπούς,
ἤτοι κατόπτην ἢ κλοπαῖς θηρώμενον
Ἑλένην· θανεῖται δ’, ἤν γε δὴ ληφθῆι μόνον.
ἔα·
ἀλλ’, ὡς ἔοικε, πάντα διαπεπραγμένα
ηὕρηκα· τύμβου γὰρ κενὰς λιποῦς’ ἕδρας
ἡ Τυνδαρὶς παῖς ἐκπεπόρθμευται χθονός.
ὠή, χαλᾶτε κλῆιθρα, λύεθ’ ἱππικὰς
φάτνας, ὀπαδοί, κἀκκομίζεθ’ ἅρματα,
ὡς ἂν πόνου γ’ ἕκατι μὴ λάθηι με γῆς
τῆσδ’ ἐκκομισθεῖς’ ἄλοχος ἧς ἐφίεμαι.
ἐπίσχετ’· εἰσορῶ γὰρ οὓς διώκομεν
παρόντας ἐν δόμοισι κοὐ πεφευγότας.
αὕτη, τί πέπλους μέλανας ἐξήψω χροὸς
λευκῶν ἀμείψας’ ἔκ τε κρατὸς εὐγενοῦς
κόμας σίδηρον ἐμβαλοῦς’ ἀπέθρισας
χλωροῖς τε τέγγεις δάκρυσι σὴν παρηίδα
κλαίουσα; πότερον ἐννύχοις πεπεισμένη
στένεις ὀνείροις ἢ φάτιν τιν’ οἴκοθεν
κλυοῦσα λύπηι σὰς διέφθαρσαι φρένας;
Ελ. ὦ δέσποτ’—ἤδη γὰρ τόδ’ ὀνομάζω ς’ ἔπος—
ὄλωλα· φροῦδα τἀμὰ κοὐδέν εἰμ’ ἔτι.
Θε. ἐν τῶι δὲ κεῖσαι συμφορᾶς; τίς ἡ τύχη;
Ελ. Μενέλαος—οἴμοι, πῶς φράσω; —τέθνηκέ μοι.
Θε. [οὐδέν τι χαίρω σοῖς λόγοις, τὰ δ’ εὐτυχῶ.]
πῶς οἶσθα; μῶν σοι Θεονόη λέγει τάδε;

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ελ. κείνη τε φησὶν ὅ τε παρὼν ὅτ’ ὤλλυτο. Θε. ἥκει γὰρ ὅστις καὶ τάδ’ ἀγγέλλει σαφῆ;

1195.6 Ελ. ἥκει· μόλοι γὰρ οἷ σφ’ ἐγὼ χρῄζω μολεῖν.

1195.7 Θε. τίς ἐστι; ποῦ ’στιν; ἵνα σαφέστερον μάθω.

1195.8 Ελ. ὅδ’ ὃς κάθηται τῶιδ’ ὑποπτήξας τάφωι.

1195.9 Θε. Ἄπολλον, ὡς ἐσθῆτι δυσμόρφωι πρέπει.

1205.1 Ελ. οἴμοι, δοκῶ μὲν κἀμὸν ὧδ’ ἔχειν πόσιν.

1205.2 Θε. ποδαπὸς δ’ ὅδ’ ἀνὴρ καὶ πόθεν κατέσχε γῆν;

1205.3 Ελ. Ἕλλην, Ἀχαιῶν εἷς ἐμῶι σύμπλους πόσει.

1205.4 Θε. θανάτωι δὲ ποίωι φησὶ Μενέλεων θανεῖν;

1205.5 Ελ. οἰκτρόταθ’, ὑγροῖσιν ἐν κλυδωνίοις ἁλός.

1210.1 Θε. ποῦ βαρβάροισι πελάγεσιν ναυσθλούμενον;

1210.2 Ελ. Λιβύης ἀλιμένοις ἐκπεσόντα πρὸς πέτραις.

1210.3 Θε. καὶ πῶς ὅδ’ οὐκ ὄλωλε κοινωνῶν πλάτης;

1210.4 Ελ. ἐσθλῶν κακίους ἐνίοτ’ εὐτυχέστεροι.

1210.5 Θε. λιπὼν δὲ ναὸς ποῦ πάρεστιν ἔκβολα;

1215.1 Ελ. ὅπου κακῶς ὄλοιτο, Μενέλεως δὲ μή.

1215.2 Θε. ὄλωλ’ ἐκεῖνος. ἦλθε δ’ ἐν ποίωι σκάφει;

1215.3 Ελ. ναῦταί σφ’ ἀνείλοντ’ ἐντυχόντες, ὡς λέγει.

1215.4 Θε. ποῦ δὴ τὸ πεμφθὲν ἀντὶ σοῦ Τροίαι κακόν;

1215.5 Ελ. νεφέλης λέγεις ἄγαλμ’; ἐς αἰθέρ’ οἴχεται.

1220.1 Θε. ὦ Πρίαμε καὶ γῆ Τρωιάς, 〈ὡσ〉 ἔρρεις μάτην.

1220.2 Ελ. κἀγὼ μετέσχον Πριαμίδαις δυσπραξίας.

1220.3 Θε. πόσιν δ’ ἄθαπτον ἔλιπεν ἢ κρύπτει χθονί; Ελ. ἄθαπτον· οἳ ’γὼ τῶν ἐμῶν τλήμων κακῶν.

1220.4 Θε. τῶνδ’ οὕνεκ’ ἔτεμες βοστρύχους ξανθῆς κόμης;

1225.1 Ελ. φίλος γάρ ἐστιν ὅς ποτ’ ἐστὶν ἐνθάδ’ ὤν.

1225.2 Θε. ὀρθῶς μὲν ἥδε συμφορὰ δακρύεται.

post 1226 〈Ελ.〉

post 1226 〈Θε.〉

1227.1 Ελ. ἐν εὐμαρεῖ γοῦν σὴν κασιγνήτην λαθεῖν.

1227.2 Θε. οὐ δῆτα. πῶς οὖν; τόνδ’ ἐτ’ οἰκήσεις τάφον;

1230 Ελ. πιστὴ γάρ εἰμι τῶι πόσει φεύγουσα σέ.

1229 Θε. τί κερτομεῖς με, τὸν θανόντα δ’ οὐκ ἐᾶις;

1231.1 Ελ. ἀλλ’ οὐκέτ’· ἤδη δ’ ἄρχε τῶν ἐμῶν γάμων.

1231.2 Θε. χρόνια μὲν ἦλθεν, ἀλλ’ ὅμως αἰνῶ τάδε.

1231.3 Ελ. οἶσθ’ οὖν ὃ δρᾶσον· τῶν πάρος λαθώμεθα.

1231.4 Θε. ἐπὶ τῶι; χάρις γὰρ ἀντὶ χάριτος ἐλθέτω.

1235.1 Ελ. σπονδὰς τέμωμεν καὶ διαλλάχθητί μοι.

1235.2 Θε. μεθίημι νεῖκος τὸ σόν, ἴτω δ’ ὑπόπτερον.

1235.3

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Ελ. πρός νύν σε γονάτων τῶνδ’, ἐπείπερ εἶ φίλος ...
Θε. τί χρῆμα θηρῶς’ ἱκέτις ὠρέχθης ἐμοῦ;
Ελ. τὸν κατθανόντα πόσιν ἐμὸν θάψαι θέλω.
Θε. τί δ’; ἔστ’ ἀπόντων τύμβος; ἢ θάψεις σκιάν;
Ελ. Ἕλλησίν ἐστι νόμος, ὃς ἂν πόντωι θάνηι ...
Θε. τί δρᾶν; σοφοί τοι Πελοπίδαι τὰ τοιάδε.
Ελ. κενοῖσι θάπτειν ἐν πέπλων ὑφάσμασιν.
Θε. κτέριζ’· ἀνίστη τύμβον οὗ χρήιζεις χθονός.
Ελ. οὐχ ὧδε ναύτας ὀλομένους τυμβεύομεν.
Θε. πῶς δαί; λέλειμμαι τῶν ἐν Ἕλλησιν νόμων.
Ελ. ἐς πόντον ὅσα χρὴ νέκυσιν ἐξορμίζομεν. Θε. τί σοι παράσχω δῆτα τῶι τεθνηκότι;
Ελ. ὅδ’ οἶδ’, ἐγὼ δ’ ἄπειρος, εὐτυχοῦσα πρίν. Θε. ὦ ξένε, λόγων μὲν κληδόν’ ἤνεγκας φίλην.
Με. οὔκουν ἐμαυτῶι γ’ οὐδὲ τῶι τεθνηκότι.
Θε. πῶς τοὺς θανόντας θάπτετ’ ἐν πόντωι νεκρούς;
Με. ὡς ἂν παρούσης οὐσίας ἕκαστος ἦι.
Θε. πλούτου λέγ’ οὕνεχ’ ὅτι θέλεις ταύτης χάριν.
Με. προσφάζεται μὲν αἷμα πρῶτα νερτέροις.
Θε. τίνος; σύ μοι σήμαινε, πείσομαι δ’ ἐγώ.
Με. αὐτὸς σὺ γίγνωσκ’· ἀρκέσει γὰρ ἃν διδῶις.
Θε. ἐν βαρβάροις μὲν ἵππον ἢ ταῦρον νόμος.
Με. διδούς γε μὲν δὴ δυσγενὲς μηδὲν δίδου.
Θε. οὐ τῶνδ’ ἐν ἀγέλαις ὀλβίαις σπανίζομεν.
Με. καὶ στρωτὰ φέρεται λέκτρα σώματος κενά.
Θε. ἔσται· τί δ’ ἄλλο προσφέρειν νομίζεται;
Με. χαλκήλαθ’ ὅπλα· καὶ γὰρ ἦν φίλος δορί.
Θε. ἄξια τάδ’ ἔσται Πελοπιδῶν ἃ δώσομεν.
Με. καὶ τἄλλ’ ὅσα χθὼν καλὰ φέρει βλαστήματα.
Θε. πῶς οὖν; ἐς οἶδμα τίνι τρόπωι καθίετε;
Με. ναῦν δεῖ παρεῖναι κἀρετμῶν ἐπιστάτας.
Θε. πόσον δ’ ἀπείργειν μῆκος ἐκ γαίας δόρυ;
Με. ὥστ’ ἐξορᾶσθαι ῥόθια χερσόθεν μόλις.
Θε. τί δή; τόδ’ Ἑλλὰς νόμιμον ἐκ τίνος σέβει;
Με. ὡς μὴ πάλιν γῆι λύματ’ ἐκβάληι κλύδων.
Θε. Φοίνισσα κώπη ταχύπορος γενήσεται.
Με. καλῶς ἂν εἴη Μενέλεώι τε πρὸς χάριν.
Θε. οὔκουν σὺ χωρὶς τῆσδε δρῶν ἀρκεῖς τάδε;
Με. μητρὸς τόδ’ ἔργον ἢ γυναικὸς ἢ τέκνων.
Θε. ταύτης ὁ μόχθος, ὡς λέγεις, θάπτειν πόσιν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Με. ἐν εὐσεβεῖ γοῦν νόμιμα μὴ κλέπτειν νεκρῶν. Θε. ἴτω· πρὸς ἡμῶν ἄλοχον εὐσεβῆ τρέφειν.
ἐλθὼν δ’ ἐς οἴκους, ἐξελὼν κόσμον νεκρῶι
〈〉
καί ς’ οὐ κεναῖσι χερσὶ γῆς ἀποστελῶ,
δράσαντα τῆιδε πρὸς χάριν· φήμας δ’ ἐμοὶ
ἐσθλὰς ἐνεγκὼν ἀντὶ τῆς ἀχλαινίας
ἐσθῆτα λήψηι σῖτά θ’, ὥστε ς’ ἐς πάτραν
ἐλθεῖν, ἐπεὶ νῦν γ’ ἀθλίως 〈σ’〉 ἔχονθ’ ὁρῶ.
σὺ δ’, ὦ τάλαινα, μὴ ’πὶ τοῖς ἀνηνύτοις
τρύχουσα σαυτήν 〈
〉 Μενέλεως δ’ ἔχει πότμον,
κοὐκ ἂν δύναιτο ζῆν ὁ κατθανὼν γόοις.
Με. σὸν ἔργον, ὦ νεᾶνι· τὸν παρόντα μὲν
στέργειν πόσιν χρή, τὸν δὲ μηκέτ’ ὄντ’ ἐᾶν·
ἄριστα γάρ σοι ταῦτα πρὸς τὸ τυγχάνον.
ἢν δ’ Ἑλλάδ’ ἔλθω καὶ τύχω σωτηρίας,
παύσω ψόγου σε τοῦ πρίν, ἢν γυνὴ γένηι
οἵαν γενέσθαι χρή σε σῶι ξυνευνέτηι.
Ελ. ἔσται τάδ’· οὐδὲ μέμψεται πόσις ποτὲ
ἡμῖν· σὺ δ’ αὐτὸς ἐγγὺς ὢν εἴσηι τάδε.
ἀλλ’, ὦ τάλας, ἔσελθε καὶ λουτρῶν τύχε
ἐσθῆτά τ’ ἐξάλλαξον. οὐκ ἐς ἀμβολὰς
εὐεργετήσω ς’· εὐμενέστερον γὰρ ἂν
τῶι φιλτάτωι μοι Μενέλεωι τὰ πρόσφορα δρώιης ἄν, ἡμῶν τυγχάνων οἵων σε χρή.
Χο. ὀρεία ποτὲ δρομάδι κώ-
λωι Μάτηρ ἐσύθη θεῶν ἀν’ ὑλᾶντα νάπη
ποτάμιόν τε χεῦμ’ ὑδάτων
βαρύβρομόν τε κῦμ’ ἅλιον
πόθωι τᾶς ἀποιχομένας
ἀρρήτου κούρας.
κρόταλα δὲ βρόμια διαπρύσιον
ἱέντα κέλαδον ἀνεβόα,
θηρῶν ὅτε ζυγίους
ζεύξασα θεὰ σατίνας
τὰν ἁρπασθεῖσαν κυκλίων
χορῶν ἔξω παρθενίων
μετὰ κουρᾶν δ’
〈–〉 ἀελλόποδες,

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἁ μὲν τόξοις Ἄρτεμις, ἁ δ’
1315.2 ἔγχει Γοργῶπις πάνοπλος.
1315.3 αὐγάζων δ’ ἐξ οὐρανίων
post 1317 〈––––〉
1318.1 ἄλλαν μοῖραν ἔκραινεν.
1318.2 δρομαῖον δ’ ὅτε πολυπλάνη-
1320.1 τον μάτηρ ἔπαυσε πόνον
1320.2 ματεύουσα πόνους
1320.3 θυγατρὸς ἁρπαγὰς δολίους,
1320.4 χιονοθρέμμονάς τ’ ἐπέρας’
1320.5 Ἰδαιᾶν Νυμφᾶν σκοπιὰς
1325.1 ῥίπτει τ’ ἐν πένθει
1325.2 πέτρινα κατὰ δρία πολυνιφέα. βροτοῖσι δ’ ἄχλοα πεδία γᾶς
post 1327 〈–––〉
1328.1 οὐ καρπίζους’ ἀρότοις,
1328.2 λαῶν δὲ φθείρει γενεάν,
1330.1 ποίμναις δ’ οὐχ ἵει θαλερὰς
1330.2 βοσκὰς εὐφύλλων ἑλίκων·
1330.3 πόλεων δ’ ἀπέλειπε βίος,
1330.4 οὐδ’ ἦσαν θεῶν θυσίαι,
1330.5 βωμοῖς δ’ ἄφλεκτοι πελανοί·
1335 παγὰς δ’ ἀμπαύει δροσερὰς
1336a λευκῶν ἐκβάλλειν ὑδάτων
1336b πένθει παιδὸς ἀλάστωι.
1337.1 ἐπεὶ δ’ ἔπαυς’ εἰλαπίνας
1337.2 θεοῖς βροτείωι τε γένει,
1337.3 Ζεὺς μειλίσσων στυγίους
1340.1 Ματρὸς ὀργὰς ἐνέπει·
1340.2 Βᾶτε, σεμναὶ Χάριτες,
1340.3 ἴτε, τὰν περὶ παρθένωι
1340.4 Δηὼ θυμωσαμέναν
1340.5 λύπαν ἐξαλλάξατ’ ἀλαλᾶι
1345.1 Μοῦσαί θ’ ὕμνοισι χορῶν.
1345.2 χαλκοῦ δ’ αὐδὰν χθονίαν
1345.3 τύπανά τ’ ἔλαβε βυρσοτενῆ
1345.4 καλλίστα τότε πρῶτα μακά-
1345.5 ρων Κύπρις· γέλασεν δὲ θεὰ δέξατό τ’ ἐς χέρας
1345.6 βαρύβρομον αὐλὸν
1345.7

Eulogikon public reading copy · View original HTML at eulogikon.org

τερφθεῖς’ ἀλαλαγμῶι.
ὧν οὐ θέμις οὔθ’ ὅσια
ἐπύρωσας ἐν θαλάμοις,
μῆνιν δ’ ἔχεις μεγάλας
Ματρός, ὦ παῖ, θυσίας
οὐ σεβίζουσα θεᾶς.
μέγα τοι δύναται νεβρῶν
παμποίκιλοι στολίδες
κισσοῦ τε στεφθεῖσα χλόα
νάρθηκας εἰς ἱεροὺς
ῥόμβου θ’ εἱλισσομένα
κύκλιος ἔνοσις αἰθερία
βακχεύουσά τ’ ἔθειρα Βρομί-
ωι καὶ παννυχίδες θεᾶς.
εὖ δέ νιν ἄμασιν
ὑπέρβαλε σελάνα
μορφᾶ μόνον ηὔχεις.
Ελ. τὰ μὲν κατ’ οἴκους εὐτυχοῦμεν, ὦ φίλαι·
ἡ γὰρ συνεκκλέπτουσα Πρωτέως κόρη
πόσιν παρόντα τὸν ἐμὸν ἱστορουμένη
[οὐκ εἶπ’ ἀδελφῶι· κατθανόντα δ’ ἐν χθονὶ]
οὔ φησιν αὐγὰς εἰσορᾶν ἐμὴν χάριν. κάλλιστα δῆτ’ ἀνήρπασεν ἐν τύχῃ πόσις·
ἃ γὰρ καθήσειν ὅπλ’ ἔμελλεν εἰς ἅλα,
ταῦτ’ ἐμβαλὼν πόρπακι γενναίαν χέρα
αὐτὸς κομίζει δόρυ τε δεξιᾶι λαβών,
ὡς τῶι θανόντι χάριτα δὴ συνεκπονῶν.
προύργου δ’ ἐς ἀλκὴν σῶμ’ ὅπλοις ἠσκήσατο,
ὡς βαρβάρων τροπαῖα μυρίων χερὶ
θήσων, ὅταν κωπῆρες ἐσβῶμεν σκάφος.
πέπλους δ’ ἀμείψας’ ἀντὶ ναυφθόρου στολῆς
ἐγώ νιν ἐξήσκησα καὶ λουτροῖς χρόα
ἔδωκα, χρόνια νίπτρα ποταμίας δρόσου.
ἀλλ’, ἐκπερᾶι γὰρ δωμάτων ὁ τοὺς ἐμοὺς
γάμους ἑτοίμους ἐν χεροῖν ἔχειν δοκῶν,
σιγητέον μοι· καὶ σὲ προσποιούμεθα
〈〉
εὔνουν κρατεῖν τε στόματος, ἢν δυνώμεθα
σωθέντες αὐτοὶ καὶ σὲ συσσῶσαί ποτε.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

Θε. χωρεῖτ’ ἐφεξῆς, ὡς ἔταξεν ὁ ξένος,
δμῶες, φέροντες ἐνάλια κτερίσματα.
Ἑλένη, σὺ δ’, ἤν σοι μὴ κακῶς δόξω λέγειν,
πείθου, μέν’ αὐτοῦ· ταὐτὰ γὰρ παροῦσά τε
πράξεις τὸν ἄνδρα τὸν σὸν ἤν τε μὴ παρῇς.
δέδοικα γάρ σε μή τις ἐμπεσὼν πόθος
πείσηι μεθεῖναι σῶμ’ ἐς οἶδμα πόντιον
τοῦ πρόσθεν ἀνδρὸς χάρισιν ἐκπεπληγμένην·
ἄγαν γὰρ αὐτὸν οὐ παρόνθ’ ὅμως στένεις.
Ελ. ὦ καινὸς ἡμῖν πόσις, ἀναγκαίως ἔχει τὰ πρῶτα λέκτρα νυμφικάς θ’ ὁμιλίας
τιμᾶν· ἐγὼ δὲ διὰ τὸ μὲν στέργειν πόσιν καὶ ξυνθάνοιμ’ ἄν· ἀλλὰ τίς κείνωι χάρις
ξὺν κατθανόντι κατθανεῖν 〈μ’〉; ἔα δέ με
αὐτὴν μολοῦσαν ἐντάφια δοῦναι νεκρῶι.
θεοὶ δέ σοί τε δοῖεν οἷ’ ἐγὼ θέλω
καὶ τῶι ξένωι τῶιδ’, ὅτι συνεκπονεῖ τάδε.
ἕξεις δέ μ’ οἵαν χρή ς’ ἔχειν ἐν δώμασιν
γυναῖκ’, ἐπειδὴ Μενέλεων εὐεργετεῖς
κἄμ’· ἔρχεται γὰρ δή τιν’ ἐς τύχην τάδε.
ὅστις δὲ δώσει ναῦν ἐν ἧι τάδ’ ἄξομεν,
πρόσταξον, ὡς ἂν τὴν χάριν πλήρη λάβω.
Θε. χώρει σὺ καὶ ναῦν τοῖσδε πεντηκόντερον
Σιδωνίαν δὸς κἀρετμῶν ἐπιστάτας.
Ελ. οὔκουν ὅδ’ ἄρξει ναὸς ὃς κοσμεῖ τάφον;
Θε. μάλιστ’· ἀκούειν τοῦδε χρὴ ναύτας ἐμούς.
Ελ. αὖθις κέλευσον, ἵνα σαφῶς μάθωσί σου.
Θε. αὖθις κελεύω καὶ τρίτον 〈γ’〉, εἴ σοι φίλον.
Ελ. ὄναιο· κἀγὼ τῶν ἐμῶν βουλευμάτων.
Θε. μή νυν ἄγαν σὸν δάκρυσιν ἐκτήξηις χρόα.
Ελ. ἥδ’ ἡμέρα σοι τὴν ἐμὴν δείξει χάριν.
Θε. τὰ τῶν θανόντων οὐδὲν ἀλλ’ ἄλλως πόνος.
Ελ. ἔστιν τι κἀκεῖ κἀνθάδ’ ὧν ἐγὼ λέγω.
Θε. οὐδὲν κακίω Μενέλεώ μ’ ἕξεις πόσιν.
Ελ. οὐδὲν σὺ μεμπτός· τῆς τύχης με δεῖ μόνον.
Θε. ἐν σοὶ τόδ’, ἣν σὴν εἰς ἔμ’ εὔνοιαν διδῶις.
Ελ. οὐ νῦν διδαξόμεσθα τοὺς φίλους φιλεῖν.
Θε. βούληι ξυνεργῶν αὐτὸς ἐκπέμψω στόλον;
Ελ. ἥκιστα· μὴ δούλευε σοῖς δούλοις, ἄναξ. Θε. ἀλλ’ εἶα· τοὺς μὲν Πελοπιδῶν ἐῶ νόμους·
καθαρὰ γὰρ ἡμῖν δώματ’· οὐ γὰρ ἐνθάδε

ψυχὴν ἀφῆκε Μενέλεως. ἴτω δέ τις
φράσων ὑπάρχοις τοῖς ἐμοῖς φέρειν γάμων
ἀγάλματ’ οἴκους εἰς ἐμούς· πᾶσαν δὲ χρὴ
γαῖαν βοᾶσθαι μακαρίαις ὑμνωιδίαις,
ὑμέναιος Ἑλένης κἀμὸς ὡς ζηλωτὸς ἧι.
σὺ δ’, ὦ ξέν’, ἐλθὼν πελαγίους ἐς ἀγκάλας
τῶι τῆσδε πρίν ποτ’ ὄντι δοὺς πόσει τάδε
πάλιν πρὸς οἴκους σπεῦδ’ ἐμὴν δάμαρτ’ ἔχων,
ὡς τοὺς γάμους τοὺς τῆσδε συνδαίσας ἐμοὶ
στέλληι πρὸς οἴκους ἢ μένων εὐδαιμονῆις.
Με. ὦ Ζεῦ, πατήρ τε καὶ σοφὸς κλήιζηι θεός,
βλέψον πρὸς ἡμᾶς καὶ μετάστησον κακῶν.
ἕλκουσι δ’ ἡμῖν πρὸς λέπας τὰς συμφορὰς
σπουδῆι σύναψαι· κἂν ἄκραι θίγηις χερί,
ἥξομεν ἵν’ ἐλθεῖν βουλόμεσθα τῆς τύχης.
ἅλις δὲ μόχθων οὓς ἐμοχθοῦμεν πάρος.
κέκλησθέ τοι, θεοί, πόλλ’ ἄχρηστ’ ἐμοῦ κλύειν
καὶ λύπρ’· ὀφείλω δ’ οὐκ ἀεὶ πράσσειν κακῶς,
ὀρθῶι δὲ βῆναι ποδί· μίαν δέ μοι χάριν δόντες τὸ λοιπὸν εὐτυχῆ με θήσετε.
Χο. Φοίνισσα Σιδωνιὰς ὦ
ταχεῖα κώπα, ῥοθίοισι Νηρέως
εἰρεσία φίλα,
χοραγὲ τῶν καλλιχόρων
δελφίνων, ὅταν αὐ-
ρᾶν πέλαγος ἀνήνεμον ἦι,
γλαυκὰ δὲ Πόντου θυγάτηρ
Γαλάνεια τάδ’ εἴπηι·
Κατὰ μὲν ἱστία πετάσατ’, αὔ-
ρας λιπόντες εἰναλίας,
λάβετε δ’ εἰλατίνας πλάτας,
ὦ ναῦται ναῦται,
πέμποντες εὐλιμένους
Περσείων οἴκων Ἑλέναν ἐπ’ ἀκτάς.
ἦ που κόρας ἂν ποταμοῦ
παρ’ οἶδμα Λευκιππίδας ἢ πρὸ ναοῦ
Παλλάδος ἂν λάβοι
χρόνωι ξυνελθοῦσα χοροῖς
ἢ κώμοις Ὑακίν-

Eulogikon public reading copy · View original HTML at eulogikon.org

θου νύχιον ἐς εὐφροσύναν,
ὃν ἐξαμιλλασάμενος
τροχῶ τέρμονι δίσκου
ἔκανε Φοῖβος, τᾶ Λακαί-
ναι γᾶι βούθυτον ἁμέραν
ὁ Διὸς εἶπε σέβειν γόνος·
μόσχον θ’ ἃν λίποιτ’ οἴκοις
〈---〉
ἇς οὔπω πεῦκαι πρὸ γάμων ἔλαμψαν.
δι’ αἰθέρος εἴθε ποτανοὶ
γενοίμεθ’ ὅπαι Λιβύας
οἰωνῶν στιχάδες
ὄμβρον χειμέριον λιποῦ-
σαι νίσονται πρεσβυτάτου
σύριγγι πειθόμεναι
ποιμένος, ἄβροχά θ’ ὃς
πεδία καρποφόρα τε γᾶς
ἐπιπετόμενος ἰαχεῖ.
ὦ πταναὶ δολιχαύχενες,
σύννομοι νεφέων δρόμωι,
βᾶτε Πλειάδας ὑπὸ μέσας
Ὠρίωνά τ’ ἐννύχιον,
καρύξατ’ ἀγγελίαν
Εὐρώταν ἐφεζόμεναι,
Μενέλεως ὅτι Δαρδάνου
πόλιν ἑλὼν δόμον ἥξει.
μόλοιτέ ποθ’ ἵππιον οἶμον
δι’ αἰθέρος ἱέμενοι, παῖδες Τυνδαρίδαι,
λαμπρῶν ἀστέρων ὑπ’ ἀέλ-
λαις οἳ ναίετ’ οὐράνιοι, σωτῆρε τᾶς Ἑλένας,
γλαυκὸν ἐπ’ οἶδμ’ ἅλιον
κυανόχροά τε κυμάτων
ῥόθια πολιὰ θαλάσσας,
ναύταις εὐαεῖς ἀνέμων
πέμποντες Διόθεν πνοάς,
δύσκλειαν δ’ ἀπὸ συγγόνου
βάλετε βαρβάρων λεχέων,
ἃν Ἰδαιᾶν ἐρίδων

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ποιναθεῖς’ ἐκτήσατο, γᾶν
οὐκ ἐλθοῦσά ποτ’ Ἰλίου
Φοιβείους ἐπὶ πύργους.
ΑΓΓΕΛΟΣ
ἄναξ, τὰ κάκιστ’ ἐν δόμοις ηὑρήκαμεν·
ὡς καίν’ ἀκούσηι πήματ’ ἐξ ἐμοῦ τάχα.
Θε. τί δ’ ἔστιν; Αγ. ἄλλης ἐκπόνει μνηστεύματα
γυναικός· Ἑλένη γὰρ βέβηκ’ ἔξω χθονός.
Θε. πτεροῖσιν ἀρθεῖς’ ἢ πεδοστιβεῖ ποδί;
Αγ. Μενέλαος αὐτὴν ἐκπεπόρθμευται χθονός,
ὃς αὐτὸς αὑτὸν ἦλθεν ἀγγέλλων θανεῖν.
Θε. ὦ δεινὰ λέξας· τίς δέ νιν ναυκληρία
ἐκ τῆσδ’ ἀπῆρε χθονός; ἄπιστα γὰρ λέγεις.
Αγ. ἥν γε ξένωι δίδως σύ· τοὺς δὲ σοὺς ἑλὼν ναύτας βέβηκεν, ὡς ἂν ἐν βραχεῖ μάθηις.
Θε. πῶς; εἰδέναι πρόθυμος· οὐ γὰρ ἐλπίδων
ἔσω βέβηκε μίαν ὑπερδραμεῖν χέρα
τοσούσδε ναύτας ὧν ἀπεστάλης μέτα.
Αγ. ἐπεὶ λιποῦσα τούσδε βασιλείους δόμους
ἡ τοῦ Διὸς παῖς πρὸς θάλασσαν ἐστάλη,
σοφώταθ’ ἁβρὸν πόδα τιθεῖς’ ἀνέστενεν
πόσιν πέλας παρόντα κοὐ τεθνηκότα.
ὡς δ’ ἤλθομεν σῶν περίβολον νεωρίων,
Σιδωνίαν ναῦν πρωτόπλουν καθείλκομεν
ζυγῶν τε πεντήκοντα κἀρετμῶν μέτρα
ἔχουσαν. ἔργου δ’ ἔργον ἐξημείβετο·
ὁ μὲν γὰρ ἱστόν, ὁ δὲ πλάτην καθίστατο
ταρσόν τε χειρὶ λευκά θ’ ἱστί’ εἰς ἓν ἦν
πηδάλιά τε ζεύγλαισι παρακαθίετο.
κἀν τῶιδε μόχθωι, τοῦτ’ ἄρα σκοπούμενοι,
Ἕλληνες ἄνδρες Μενέλεωι ξυνέμποροι
προσῆλθον ἀκτὰς ναυφθόροις ἠσκημένοι
πέπλοισιν, εὐειδεῖς μέν, αὐχμηροὶ δ’ ὁρᾶν.
ἰδὼν δέ νιν παρόντας Ἀτρέως γόνος
προσεῖπε δόλιον οἶκτον ἐς μέσον φέρων·
Ὦ τλήμονες, πῶς ἐκ τίνος νεώς ποτε
Ἀχαιίδος θραύσαντες ἥκετε σκάφος;
ἀλλ’ Ἀτρέως παῖδ’ ὀλόμενον συνθάπτετε,
ὃν Τυνδαρὶς παῖς ἥδ’ ἀπόντα κενοταφεῖ.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

οἱ δ’ ἐκβαλόντες δάκρυα ποιητῶι τρόπωι
ἐς ναῦν ἐχώρουν Μενέλεωι ποντίσματα
φέροντες. ἡμῖν δ’ ἦν μὲν ἥδ’ ὑποψία λόγος τ’ ἐν ἀλλήλοισι, τῶν ἐπεσβατῶν
ὡς πλῆθος εἴη· διεσιωπῶμεν δ’ ὅμως
τοὺς σοὺς λόγους σώιζοντες· ἄρχειν γὰρ νεὼς
ξένον κελεύσας πάντα συνέχεας τάδε.
καὶ τἄλλα μὲν δὴ ῥαιδίως ἔσω νεὼς
ἐθέμεθα κουφίζοντα· ταύρειος δὲ ποὺς
οὐκ ἤθελ’ ὀρθὸς σανίδα προσβῆναι κάτα,
ἀλλ’ ἐξεβρυχᾶτ’ ὄμμ’ ἀναστρέφων κύκλωι,
κυρτῶν τε νῶτα κἀς κέρας παρεμβλέπων
μὴ θιγγάνειν ἀπεῖργεν. ὁ δ’ Ἑλένης πόσις
ἐκάλεσεν· Ὦ πέρσαντες Ἰλίου πόλιν,
οὐχ εἶ’ ἀναρπάσαντες Ἑλλήνων νόμωι
νεανίαις ὤμοισι ταύρειον δέμας
ἐς πρῶιραν ἐμβαλεῖτε φάσγανόν θ’ ἅμα
πρόχειρον ὤσει σφάγια τῶι τεθνηκότι;
οἱ δ’ ἐς κέλευσμ’ ἐλθόντες ἐξανήρπασαν
ταῦρον φέροντές τ’ εἰσέθεντο σέλματα.
μονάμπυκος δὲ Μενέλεως ψήχων δέρην
μέτωπά τ’ ἐξέπεισεν ἐσβῆναι δόρυ.
τέλος δ’, ἐπειδὴ ναῦς τὰ πάντ’ ἐδέξατο,
πλήσασα κλιμακτῆρας εὐσφύρωι ποδὶ
Ἑλένη καθέζετ’ ἐν μέσοις ἑδωλίοις
ὅ τ’ οὐκέτ’ ὢν λόγοισι Μενέλεως πέλας·
ἄλλοι δὲ τοίχους δεξιοὺς λαιούς τ’ ἴσοι
ἀνὴρ παρ’ ἄνδρ’ ἕζονθ’, ὑφ’ εἵμασι ξίφη
λαθραῖ’ ἔχοντες, ῥόθιά τ’ ἐξεπίμπλατο
βοῆς, κελευστοῦ φθέγμαθ’ ὡς ἠκούσαμεν. ἐπεὶ δὲ γαίας ἦμεν οὔτ’ ἄγαν πρόσω
οὔτ’ ἐγγύς, οὕτως ἤρετ’ οἰάκων φύλαξ·
Ἔτ’, ὦ ξέν’, ἐς τὸ πρόσθεν—ἢ καλῶς ἔχει;—
πλεύσωμεν; ἀρχαὶ γὰρ νεὼς μέλουσι σοί.
ὁ δ’ εἶφ’· Ἅλις μοι. δεξιᾶι δ’ ἑλὼν ξίφος
ἐς πρῶιραν εἷρπε κἀπὶ ταυρείωι σφαγῆι
σταθεὶς νεκρῶν μὲν οὐδενὸς μνήμην ἔχων,
τέμνων δὲ λαιμὸν ηὔχετ’· Ὦ ναίων ἅλα
πόντιε Πόσειδον Νηρέως θ’ ἁγναὶ κόραι,
σώσατέ μ’ ἐπ’ ἀκτὰς Ναυπλίας δάμαρτά τε

ἄσυλον ἐκ γῆς· αἵματος δ’ ἀπορροαὶ
ἐς οἶδμ’ ἐσηκόντιζον οὔριαι ξένωι.
καί τις τόδ’ εἶπε· Δόλιος ἡ ναυκληρία·
πάλιν πλέωμεν ἀξίαν κέλευε σύ,
σὺ δὲ στρέφ’ οἴακ’. ἐκ δὲ ταυρείου φόνου
Ἀτρέως σταθεὶς παῖς ἀνεβόησε συμμάχους·
Τί μέλλετ’, ὦ γῆς Ἑλλάδος λωτίσματα,
σφάζειν φονεύειν βαρβάρους νεώς τ’ ἄπο
ῥίπτειν ἐς οἶδμα; ναυβάταις δὲ τοῖσι σοῖς
βοᾶι κελευστὴς τὴν ἐναντίαν ὄπα·
οὐχ εἶ’ ὁ μέν τις λοῖσθον ἀρεῖται δόρυ,
ὁ δὲ ζύγ’ ἄξας, ὁ δ’ ἀφελὼν σκαλμοῦ πλάτην
καθαιματώσει κρᾶτα πολεμίων ξένων; ὀρθοὶ δ’ ἀνῆιξαν πάντες, οἱ μὲν ἐν χεροῖν
κορμοὺς ἔχοντες ναυτικούς, οἱ δὲ ξίφη·
φόνωι δὲ ναῦς ἐρρεῖτο. παρακέλευσμα δ’ ἦν
πρύμνηθεν Ἑλένης· Ποῦ τὸ Τρωϊκὸν κλέος;
δείξατε πρὸς ἄνδρας βαρβάρους. σπουδῆς δ’ ὕπο
ἔπιπτον, οἱ δ’ ὠρθοῦντο, τοὺς δὲ κειμένους
νεκροὺς ἂν εἶδες. Μενέλεως δ’ ἔχων ὅπλα, ὅπηι νοσοῖεν ξύμμαχοι κατασκοπῶν,
ταύτηι προσῆγε χειρὶ δεξιᾶι ξίφος,
ὥστ’ ἐκκολυμβᾶν ναός, ἠρήμωσε δὲ
σῶν ναυβατῶν ἐρέτμ’· ἐπ’ οἰάκων δὲ βὰς
ἄνακτ’ ἐς Ἑλλάδ’ εἶπεν εὐθύνειν δόρυ.
οἱ δ’ ἱστὸν ἦραν, οὔριαι δ’ ἧκον πνοαί·
βεβᾶσι δ’ ἐκ γῆς. διαφυγὼν δ’ ἐγὼ φόνον
καθῆκ’ ἐμαυτὸν εἰς ἅλ’ ἄγκυραν πάρα·
ἤδη δὲ κάμνονθ’ ὁρμιατόνων μέ τις
ἀνείλετ’, ἐς δὲ γαῖαν ἐξέβησέ σοι
τάδ’ ἀγγελοῦντα. σώφρονος δ’ ἀπιστίας
οὐκ ἔστιν οὐδὲν χρησιμώτερον βροτοῖς.
Χο. οὐκ ἄν ποτ’ ηὔχουν οὔτε ς’ οὔθ’ ἡμᾶς λαθεῖν
Μενέλαον, ὦναξ, ὡς ἐλάνθανεν παρών.
Θε. ὦ γυναικείαις τέχναισιν αἱρεθεὶς ἐγὼ τάλας·
ἐκπεφεύγασιν γάμοι με. κεἰ μὲν ἦν ἁλώσιμος
ναῦς διώγμασιν, πονήσας εἷλον ἂν τάχα ξένους·
νῦν δὲ τὴν προδοῦσαν ἡμᾶς τεισόμεσθα σύγγονον,
ἥτις ἐν δόμοις ὁρῶσα Μενέλεων οὐκ εἶπέ μοι.
τοιγὰρ οὔποτ’ ἄλλον ἄνδρα ψεύσεται μαντεύμασιν.

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ΘΕΡΑΠΩΝΒ
οὗτος, ὦ, ποῖ σὸν πόδ’ αἴρεις, δέσποτ’, ἐς ποῖον φόνον;
Θε. οἷπερ ἡ δίκη κελεύει μ’· ἀλλ’ ἀφίστας’ ἐκποδών.
Θε.β οὐκ ἀφήσομαι πέπλων σῶν· μεγάλα 〈γὰρ〉 σπεύδεις κακά.
Θε. ἀλλὰ δεσποτῶν κρατήσεις δοῦλος ὤν; Θε.β φρονῶ
γὰρ εὖ.
Θε. οὐκ ἔμοιγ’, εἰ μή μ’ ἐάσεις ... Θε.β οὐ μὲν οὖν ς’
ἐάσομεν.
Θε. σύγγονον κτανεῖν κακίστην ... Θε.β εὐσεβεστάτην
μὲν οὖν.
Θε. ἥ με προύδωκεν ... Θε.β καλήν γε προδοσίαν, δίκαια
δρᾶν.
Θε. τἀμὰ λέκτρ’ ἄλλωι διδοῦσα. Θε.β τοῖς γε κυριωτέροις.
Θε. κύριος δὲ τῶν ἐμῶν τίς; Θε.β ὃς ἔλαβεν πατρὸς πάρα.
Θε. ἀλλ’ ἔδωκεν ἡ τύχη μοι. Θε.β τὸ δὲ χρεὼν ἀφείλετο.
Θε. οὐ σὲ τἀμὰ χρὴ δικάζειν. Θε.β ἤν γε βελτίω λέγω.
Θε. ἀρχόμεσθ’ ἄρ’, οὐ κρατοῦμεν. Θε.β ὅσια δρᾶν, τὰ δ’
ἔκδικ’ οὔ.
Θε. κατθανεῖν ἐρᾶν ἔοικας. Θε.β κτεῖνε· σύγγονον δὲ σὴν
οὐ κτενεῖς ἡμῶν ἑκόντων ἀλλ’ ἔμ’· ὡς πρὸ δεσποτῶν
τοῖσι γενναίοισι δούλοις εὐκλεέστατον θανεῖν.
ΚΑΣΤΩΡ
ἐπίσχες ὀργὰς αἷσιν οὐκ ὀρθῶς φέρηι,
Θεοκλύμενε, γαίας τῆσδ’ ἄναξ· δισσοὶ δέ σε
Διόσκοροι καλοῦμεν, οὓς Λήδα ποτὲ
ἔτικτεν Ἑλένην θ’, ἣ πέφευγε σοὺς δόμους.
οὐ γὰρ πεπρωμένοισιν ὀργίζηι γάμοις,
οὐδ’ ἡ θεᾶς Νηρῆιδος ἔκγονος κόρη
ἀδικεῖ ς’ ἀδελφὴ Θεονόη, τὰ τῶν θεῶν
τιμῶσα πατρός τ’ ἐνδίκους ἐπιστολάς. [εἰς μὲν γὰρ αἰεὶ τὸν παρόντα νῦν χρόνον
κείνην κατοικεῖν σοῖσιν ἐν δόμοις ἐχρῆν·
ἐπεὶ δὲ Τροίας ἐξανεστάθη βάθρα
καὶ τοῖς θεοῖς παρέσχε τοὔνομ’, οὐκέτι· ἐν τοῖσι δ’ αὐτοῖς δεῖ νιν ἐζεῦχθαι γάμοις
ἐλθεῖν τ’ ἐς οἴκους καὶ συνοικῆσαι πόσει.]
ἀλλ’ ἴσχε μὲν σῆς συγγόνου μέλαν ξίφος,
νόμιζε δ’ αὐτὴν σωφρόνως πράσσειν τάδε.
πάλαι δ’ ἀδελφὴν κἂν πρὶν ἐξεσώσαμεν,
ἐπείπερ ἡμᾶς Ζεὺς ἐποίησεν θεούς·

Eulogikon public reading copy · View original HTML at eulogikon.org

ἀλλ’ ἥσσον’ ἦμεν τοῦ πεπρωμένου θ’ ἅμα
καὶ τῶν θεῶν, οἷς ταῦτ’ ἔδοξεν ὧδ’ ἔχειν.
σοὶ μὲν τάδ’ αὐδῶ, συγγόνωι δ’ ἐμῆι λέγω·
πλεῖ ξὺν πόσει σῶι· πνεῦμα δ’ ἕξετ’ οὔριον·
σωτῆρε δ’ ἡμεῖς σὼ κασιγνήτω διπλῶ
πόντον παριππεύοντε πέμψομεν πάτραν.
ὅταν δὲ κάμψηις καὶ τελευτήσηις βίον,
θεὸς κεκλήσηι [καὶ Διοσκόρων μέτα
σπονδῶν μεθέξεις] ξενιά τ’ ἀνθρώπων πάρα
ἕξεις μεθ’ ἡμῶν· Ζεὺς γὰρ ὧδε βούλεται.
οὗ δ’ ὥρμισέν σε πρῶτα Μαιάδος τόκος
Σπάρτης ἀπάρας τὸν κατ’ οὐρανὸν δρόμον,
κλέψας δέμας σὸν μὴ Πάρις γήμειέ σε,
φρουρὸν παρ’ Ἀκτὴν τεταμένην νῆσον λέγω,
Ἑλένη τὸ λοιπὸν ἐν βροτοῖς κεκλήσεται,
ἐπεὶ κλοπαίαν ς’ ἐκ δόμων ἐδέξατο.
καὶ τῶι πλανήτηι Μενέλεωι θεῶν πάρα
μακάρων κατοικεῖν νῆσόν ἐστι μόρσιμον·
τοὺς εὐγενεῖς γὰρ οὐ στυγοῦσι δαίμονες, τῶν δ’ ἀναριθμήτων μᾶλλον εἰσιν οἱ πόνοι.
Θε. ὦ παῖδε Λήδας καὶ Διός, τὰ μὲν πάρος
νείκη μεθήσω σφῶιν κασιγνήτης πέρι·
κείνη δ’ ἴτω πρὸς οἶκον, εἰ θεοῖς δοκεῖ,
ἐγὼ δ’ ἀδελφὴν οὐκέτ’ ἂν κτάνοιμ’ ἐμήν.
ἴστον δ’ ἀρίστης σωφρονεστάτης θ’ ἅμα
γεγῶτ’ ἀδελφῆς ὁμογενοῦς ἀφ’ αἵματος.
καὶ χαίρεθ’ Ἑλένης οὕνεκ’ εὐγενεστάτης
γνώμης, ὃ πολλαῖς ἐν γυναιξὶν οὐκ ἔνι.
[Χο. πολλαὶ μορφαὶ τῶν δαιμονίων,
πολλὰ δ’ ἀέλπτως κραίνουσι θεοί·
καὶ τὰ δοκηθέντ’ οὐκ ἐτελέσθη,
τῶν δ’ ἀδοκήτων πόρον ηὗρε θεός. τοιόνδ’ ἀπέβη τόδε πρᾶγμα.]

Eulogikon public reading copy · View original HTML at eulogikon.org